ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

X

CANONES IUNII

AUGUSTA ACCONCIA LONGO
COLLEGIT ET INSTRUXIT

ROMA 1972

TIPOGRAFIA S. PIO X — VIA DEGLI ETRUSCHI, 7-9 — ROMA

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

Ca — *Crypt. Δ.α. XXXI*, a. 1593 a Luca Felice Tiburtino exaratus, bombyc., mm. 210×150, ff. 241, mutilus initio et passim infra: Officia selecta in praecipuas anni festivitates. — Cfr. A. Rocchi, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883, 331.

Cn — *Crypt. Δ.α. XXIII*, s. XI, membran., mm. 240 × 180, ff. 230, a calligrapho carbonensi exaratus: Menaeum iunii, iulii, augusti. — Cfr. A. Rocchi, *op. cit.*, 323-325.

Dd — *Crypt. Δ.δ. I*, s. XV, bombyc., mm. 200 × 140, ff. 245, initio mutilus et passim infra: Anthologium seu delectus officiorum in praecipuas anni festivitates. — Cfr. A. Rocchi, *op. cit.*, 387-389.

De — *Crypt. Δ.δ. II*, s. XI-XII, membran., mm. 190 × 150, ff. 113, initio, fine et passim mediis foliis mutilus: Anthologium excipiens officia aliquot per annum decurrentium festorum. — Cfr. A. Rocchi, *op. cit.*, 389-390.

Dg — *Crypt. Δ.α. LXIII*, a. 1734 ab Athanasio Pellegrini transcriptus, a Philippo Vitali emendatus et auctus, mm. 340 × 230, ff. 133: Menaeum iunii, quod A. Rocchi, *op. cit.*, bis descripsit: primum, pp. 306-308, ut *Δ.α. X*, iterum, p. 348, ut *Δ.α. LXIII*.

J — *Hierosol. Sab. 70*, s. X-XI, membran., mm. 265×202, ff. 139: Menaeum iunii. — Cfr. A. Papadopoulos-Kerameus, *Ἱεροσολυμιτικὴ βιβλιοθήκη* II, ἐν Πετρουπόλει 1894, 118-128.

A — *Matrit. gr. 4694* (*Tolet. 31-28, olim Barber. gr. 90*), s. XIII, membran., mm. 235 × 170, ff. 222, fine mutilus: Menaeum iunii, iulii, augusti. — Cfr. in hoc volumine commentarium p. 334 s. notam 6.

Mf *Mess. gr.* 136 (ρκδ'), s. XIII, membran., mm. 230 × 250, ff. 353, initio mutilus: Anthologium canonum ianuarii-augusti. — Cfr. A. Mancini, *Codices Graeci Monasterii Messanensis S. Salvatoris*, Messanae 1907, 198.

Oa *Bodl. gr. Auct. E.5.2*, s. XIII, membran., mm. 335 × 235, ff. 1 + 159: Menaeum iunii, iulii, augusti, septembris. — Cfr. N. G. Wilson and D. I. Stefanović, *Manuscripts of Byzantine Chant in Oxford*, Oxford 1963, 7-9.

Ob *Bodl. gr. Lit. d. 8*, s. XIV: Menaeum maii et iunii, nullo catalogo descriptum. — Cfr. M. Richard, *Répertoire des Bibliothèques et des Catalogues de Manuscrits Grecs*², Paris 1958, 180.

Pv *Paris. gr. 1575* (*Mazarin.-Reg. 2475*) *M*, s. XII, membran., mm. 290 × 193, ff. 221: Menaeum martii-augusti. — Cfr. H. Omont, *Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale*, II, Paris 1888, 98.

Pw *Paris. gr. 1566* (*Colbert 3064*) *M*, s. XIV, membran., mm. 257 × 190, ff. 196, a Hyacintho exaratus: Menaeum maii et iunii. — Cfr. H. Omont, *op. cit.*, II, 97.

Px *Paris. gr. 245*, *M*, s. XIII, in membranis rescriptis, mm. 265 × 178, pp. 406: Menaeum iunii, iulii, augusti. — Cfr. H. Omont, *op. cit.*, I, Paris 1886, 27.

Rb *Paris. gr. 1567* (*Colbert 3064*) *M*, s. XIV, membran., mm. 298 × 205, ff. 75: Menaeum iunii. — Cfr. H. Omont, *op. cit.*, II, 97.

Rc *Paris. gr. 1569* (*Colbert 4166*) *P*, s. XII, membran., mm. 255 × 190, ff. 153: Menologium octob. 3 - aug. 31 (1); — De indictione (74ᵛ); — Synaxarium magnae quadragesimae (75); — Menaeum iunii 10-29 (94). — Cfr. H. Omont, *op. cit.*, II, 98.

Bl *Barber. gr. 377* (*III, 96*), a. 1570, chartac., mm. 205 × 145, ff. 249: Menaeum iunii. — Cfr. S. De Ricci, *Liste sommaire des manuscrits grecs de la Bibliotheca Barberina*, « Revue des Bibliothèques » 17 (1907), 110; *BMGV* 147.

Bm *Barber. gr. 373* (*III, 92*), s. XIII, in membranis rescriptis, mm. 215 × 165, ff. 116, initio et fine mutilus. Officia selecta a die VI martii ad XI iunii. — Cfr. S. De Ricci, *op. cit.*, 110; *BMGV* 147. Cfr. etiam in hoc volumine commentarium pp. 318-319.

Vb *Vat. gr. 2069* (*Basil. 108*), s. XVII, chartac., mm. 290 × 200: Calendarium liturgicum. Index sanctorum Calabriae italica lingua. Menaeum septembris-augusti. — Cfr. *Inventarium manu scriptum codicum Graecorum Bibliothecae Vaticanae a J. Cozza Luzi confectum* (colloc. Sala Cons. Mss. n. 324); *BMGV* 680.

Vc *Vat. gr. 2110* (*Basil. 149*): Fragmenta officiorum e libris liturgicis. — Cfr. *Inventarium manu scriptum codicum Basilianorum a J. C. Scarfò redactum* (colloc. Sala Cons. Mss. n. 44); E. Follieri, *Una miscellanea innografica del Fondo Basiliano: il Codice Vatic. gr. 2110*, « Boll. Grott. » 15 (1961), 3-14; *BMGV* 684.

Vq *Vat. gr. 1547* (*olim 1551*), s. XII, membran., mm. 165 × 120, ff. II. 183: Anthologium sive officiorum delectus in potiores anni festivitates. — Cfr. C. Giannelli, *Codices Vaticani Graeci* (*1485-1683*), 1950, 123-126; *BMGV* 606.

Vw *Vat. gr. 787* (*olim 506*), s. XIV, membran., mm. 315 × 325, ff. 229: Menaeum maii-augusti. — Cfr. R. Devreesse, *Codices Vaticani Graeci* (*604-866*), 1950, 304-305; *BMGV* 488.

W *Vat. gr. 2308*, s. XV, chartac., mm. 250 × 175, ff. 272, initio et fine mutilus: Menaeum a die XXIII iunii ad XXVI augusti. — Cfr. *Inventarium manu scriptum codicum Graecorum Bibliothecae Vaticanae a J. Cozza Luzi confectum* (colloc. Sala Cons. Mss. n. 324); *BMGV* 701.

Wl *Vat. gr. 2288*, s. XV, chartac., mm. 300 × 208, ff. 175, initio et fine mutilus: Menaeum a die V iunii ad XXIX augusti. — Cfr. *Inventarium manu scriptum,...*, supra cit.

Σγ *Sinait. gr. 620*, s. X, membran., mm. 265 × 215, ff. 160: Menaeum iunii. — Cfr. V. Gardthausen, *Catalogus Codicum Graecorum Sinaiticorum*, Oxonii 1886, 144.

Σδ *Sinait. gr. 630*, s. XIII, membran., mm. 320 × 230, ff. 198: Menaeum iunii, iulii, augusti. — Cfr. V. Gardthausen, *op. cit.*, 146.

$\Sigma\varepsilon$ *Sinait. gr. 637*, s. XI-XII, membran., mm. 225 × 167, ff. 134, fine mutilus: Menaeum martii-iulii. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 147.

$\Sigma\zeta$ *Sinait. gr. 639*, a. 1484 a Nicolao scriptus, chartac., mm. 292 × 220, ff. 471, fine mutilus: Menaeum martii-augusti. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 147-148.

$\Sigma\eta$ *Sinait. gr. 640*, a. 1539 exaratus, chartac., mm. 310 × 205, ff. 452: Menaeum novembris, iunii, iulii. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 148.

SIGLA

add.	= addit, addunt, addidi, additum, addita, etc.
app. crit.	= apparatus criticus
cd.	= codex, codicis, etc.
cdd.	= codices, codicum, etc.
ed.	= edidit, editus, editum, edita, etc.
heirm.	= heirmus, heirmi, etc.
inc.	= incipit, incipiunt, incipiens
om.	= omittit, omittunt, omissum, omissa, etc.
tit.	= titulus
v.	= versus, versum
vv.	= versus, versuum, versibus
θεοτ., σταυροθεοτ.	= θεοτοκίον, σταυροθεοτοκίον
κάθ., καθ.	= κάθισμα, καθίσματος
κοντάκ., κοντακ.	= κοντάκιον, κοντακίου
οἶκ., οἴκ.	= οἶκος, οἴκου
τριαδ.	= τριαδικόν
AA.SS.	= *Acta Sanctorum*. Antverpiae/Bruxellis/Tongerloae/Parisiis 1643-1940.
AHG	= *Analecta Hymnica Graeca e codicibus eruta Italiae Inferioris*, IOSEPH SCHIRÒ *consilio et ductu edita*. I *Canones Septembris*, ADA DEBIASI GONZATO *collegit et instruxit*, Roma 1966; V *Canones Januarii*, ALCESTIS PROIOU *collegit et instruxit*, Roma 1971; VII *Canones Martii*, EUTYCHIUS TOMADAKIS *collegit et instruxit*, Roma 1971; VIII *Canones Aprilis*, CONSTANTINUS NIKAS *collegit et instruxit*, Roma 1970.

AK = AMFILOKHIJ (SERGIEVSKIJ), arkhimandr., *Kondakarij v grečeskom podlinnikě* XII-XIII *v. po rukopisi Moskovskoj synodal'noj biblioteki* N. 437 ..., Moskva 1879.

Anal. Boll. = *Analecta Bollandiana*, Bruxelles.

B.H.G.[3] = *Bibliotheca Hagiographica Graeca*, IIIe édition... par F. HALKIN. Bruxelles 1957 (Subsidia Hagiographica 8a).

B.H.G.[3]*A.* = *Auctarium Bibliothecae Hagiographicae Graecae* par F. HALKIN. Bruxelles 1969 (Subsidia Hagiographica 47).

B.H.L. = *Bibliotheca Hagiographica Latina*, I-II. Bruxelles 1898-1901.

BMGV = P. CANART – V. PERI, *Sussidi bibliografici per i manoscritti greci della Biblioteca Vaticana*. Studi e Testi 261, Città del Vaticano 1970.

Boll. Grott. = *Bollettino della Badia greca di Grottaferrata*. Grottaferrata.

B.SS. = *Bibliotheca Sanctorum*, I-XII. Romae 1961-1969.

BZ = *Byzantinische Zeitschrift*. Leipzig-München.

EE = Σ. Εὐστρατιάδου, *Εἱρμολόγιον*. Chennevières-sur-Marne 1932 (Ἁγιορειτικὴ Βιβλιοθήκη 9).

EO = *Échos d'Orient*. Constantinople-Paris/Bucarest.

EPh = *Ἐκκλησιαστικὸς Φάρος*. Ἐν Ἀλεξανδρείᾳ.

EUSTRATIADIS, *Ταμεῖον* = Σ. Εὐστρατιάδου, *Ταμεῖον Ἐκκλησιαστικῆς ποιήσεως*. Ἐκκλησιαστικὸς Φάρος. Ἐν Ἀλεξανδρείᾳ.

HC = *Ὡρολόγιον ... κατὰ τὴν ἔκπαλαι τάξιν οὐ μὴν ἀλλὰ καὶ τυπικὸν τοῦ τῆς Κρυπτοφέρρης μοναστηρίου* ... Ἐν Ῥώμῃ 1677.

HR = *Ὡρολόγιον τὸ μέγα*. Ἐν Ῥώμῃ 1876.

Martyr. Hieron. = H. DELEHAYE, *Commentarius perpetuus in Martyrologium Hieronymianum* ad rec. H. QUENTIN, in *AA.SS. Novembris*, II, pars 2a, Bruxellis 1931.

Martyr. Rom. = H. DELEHAYE et socii, *Martyrologium Romanum* ad formam editionis typicae, scholiis historicis instructum, *Propylaeum ad AA.SS. Decembris*, Bruxellis 1940.

MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ*, I-VI Ἐν Ῥώμῃ 1888-1901.

NS = *Νέα Σιών*. Ἐκκλησιαστικὸν περιοδικὸν Σύγγραμμα. Ἐν Ἱεροσολύμοις.

PaR = *Παρακλητικὴ ἤτοι Ὀκτώηχος ἡ μεγάλη*. Ἐν Ῥώμῃ 1885.

PAS = J. B. PITRA, *Analecta Sacra spicilegio Solesmensi parata*, I-IV. Parisiis-Tusculi-Venetiis 1876-1884.

Pent = *Πεντηκοστάριον... ἐν ᾧ καὶ προσετέθη ἡ παλαιὰ Ἀκολουθία τῆς ἑβδομάδος τῆς Διακαινησίμου, σὺν τοῖς Τριῳδίοις μετὰ τὸ Ἀντιπάσχα*. [Romae, curante Ph. Vitali] 1738.

PHG = J. B. PITRA, *Hymnographie de l'Église grecque*, Rome 1867

PG = MIGNE, *Patrologia Graeca*, Lutetiae Parisiorum, 1857-1866.

PID = *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας Θεοτόκου. Ποίημα τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ* ... [Romae, curante Ph. Vitali] 1738.

PSALTES = S. B. PSALTES, *Grammatik der Byzantinischen Chroniken*, Göttingen 1913.

SBN = *Studi Bizantini e Neoellenici*. Roma.

Synax. CP. = H. DELEHAYE, *Synaxarium Ecclesiae Constantinopolitanae* (*Propylaeum ad Acta Sanctorum Novembris*). Bruxellis 1902.

Synaxarium = id. id.

TR = *Τριῴδιον κατανυκτικόν, περιέχον ἅπασαν τὴν ἀνήκουσαν αὐτῷ ἀκολουθίαν τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς*. Ἐν Ῥώμῃ 1879.

ANALECTA HYMNICA

IN SANCTUM CONONEM ET FILIUM EIUS MARTYRES ICONII

Barber. gr. 373 = Bm, ff. 103-107

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Μνήμην Κόνωνος πατρὸς ὑμνῶ σὺν γόνου.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Μεγίστην ἐν αἰκισμοῖς κτησάμενοι
ἀνδρείαν, μάρτυρες,
τὴν τοῦ ἐχθροῦ καθείλαντες ἰσχὺν
καὶ στεφάνους δεξάμενοι
5 παρὰ Χριστοῦ, αὐλίζεσθε
ἐπουρανίοις ἐν σκηνώμασιν.

Νεκρώσαντες, μάρτυρες, τὴν ἄστατον
πλάνην, ἀοίδιμοι,
ἐν τῇ ἀσκήσει ὤφθητε στερροὶ
10 καὶ ἐν σκάμματι τρέψαντες
τὴν τῶν τυράννων ἔνστασιν,
Κόνων σὺν γόνῳ ὁμόφρονι.

tit. ex acrostichide σὺν γόνου deducitur: συγγόνω rubrica ostendit heirm. α' EE 94, n. 133, Joannis 1 κτισάμενοι 12 συγγόνω

7-9 AA.SS. Maii VII (1688), 5-6: Ἔτι κρατήσαντος τὸ βασίλειον Αὐρηλιανοῦ τοῦ τυράννου, ἀπεστάλη Δομετιανὸς ὁ Κόμης κατοπτεῦσαι πάντας προσκυνεῖν καὶ σπένδειν τοῖς μιαροῖς εἰδώλοις. Εἰσελθὼν οὖν εἰς τὴν Εἰκονίων πόλιν τῆς Ἰσαυρίας, ὑπεβλήθη αὐτῷ Κόνων τις σεμνὸν βίον ζῶν, φίλος δὲ Θεοῦ, καὶ κληρονόμος Χριστοῦ, καὶ συνόμιλος Ἀγγέλων Θεοῦ, δαιμόνων δὲ διώκτης, εἰδώλων καθαιρέτης, βραβευτὴς δὲ τῶν Μαρτύρων. Οὗτος ἐσχηκὼς γυναῖκα, ἀνεχώρησε χηρεύσας, ἔχων καὶ υἱόν· καὶ λαβὼν αὐτὸν κατιδίαν ᾤκησεν.

Ἠνδρίσασθε καρτερῶς, ἀοίδιμοι
κυρίου μάρτυρες,
15 καὶ παρ' αὐτοῦ λαβόντες τὴν ἰσχύν,
αἰωνίως ἀγάλλεσθε,
ὑπὲρ ἡμῶν πρεσβεύοντες
τοῦ λυτρωθῆναι ἀπὸ πάσης ὀργῆς.

θεοτ. Μητέρα σε καὶ παρθένον, ἄχραντε,
20 θεοῦ γινώσκοντες,
ᾀσματικῶς βοῶμέν σοι, ἁγνή·
f. 103ᵛ « χαίροις, || πόλις ἡ ἔμψυχος
τοῦ ἀεὶ βασιλεύοντος,
ἐν ᾗ οἰκήσας, κόσμον ἔσωσεν ».

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

25 Ἠγάλλοντο οἱ στερροὶ
τῆς εὐσεβείας ἀληθῶς πρόμαχοι,
θλάσιν μελῶν φέροντες
καὶ τῶν ἀλγεινῶν τὰ ἐπίπονα.

Νομίμως ἐν τοῖς δεινοῖς
30 ἀγωνισάμενοι, Χριστοῦ μάρτυρες,
ὑπογραμμὸς ὤφθητε
πᾶσι τοῖς ἀθλοῦσιν, οἱ Κόνωνες.

Καθείλαντες τῶν παθῶν
τὴν τυραννίαν εὐσθενῶς, ἔνδοξοι,
35 καὶ τῶν ξιφῶν, μάρτυρες,
τῶν τυραννικῶν κατεπτύσατε.

---

20 θεοῦ supra lineam add. 23 ἀεὶ supra lineam add.
heirm. γ' EE 94, n. 133, Joannis 32 τοῖς ἀθλουσίν σοι κώνων^ες (litterae ες supra lineam add.) 34 τῇ τυραννία εὐσθενεῖς

---

27 AA.SS., 7: Δομετιανὸς εἶπεν· Ξυλίνῳ πρίονι τὰς χεῖρας αὐτῶν περιέλετε.
35-36 Cfr. commentarium p. 314.

θεοτ. Ὁ τόκος σου εὐκλεής,
ἡ παρθενία εὐαγής, δέσποινα,
ὅθεν βροτοὶ ἅπαντες
40 ὡς σεπτὸν κειμήλιον βλέπομεν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὸ φαεινόν σου*

Τοὺς ἐν ἀσκήσει ὄντως
ἀστράψαντας θαύμασι
καὶ ἐν ἀθλήσει πάλιν
στερρῶς φανησομένους
5 Κόνωνας οἱ συνελθόντες
ᾀσματικῶς τιμήσωμεν, λέγοντες·
« ἀθλοφόροι πανεύφημοι,
f. 104 || μὴ παύσητε πρεσβεύειν
ὑπὲρ ἡμῶν τῶν ἑ⟨ορ⟩ταζόντων
10 ἐν πόθῳ τὴν μνήμην ὑμῶν ».

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Νευρωθέντες ἐν τῇ πίστει, Χριστοῦ ὁπλῖται,
τοὺς τῶν τυράννων πόνους
καὶ πᾶσαν αἰκίαν
φέρετε κραυγάζοντες·
45 « Χριστὸς ἡμῶν δύναμις
πέλει καὶ χαρὰ ἀνεκλάλητος ».

Ὡς εὐώδει ἐν λειμῶνι οἱ ἀθλοφόροι
ἐν τῷ πυρὶ τῶν πόνων

---

heirm. καθ. ineditum videtur 9 litterae ⟨ορ⟩ propter marginem recisum evanuerunt
heirm. δ' EE 94, n. 133, Joannis

47-49 AA.SS., 7: Δομετιανὸς Κόμης εἶπεν πρὸς τοὺς ὑπηρέτας αὐτοῦ· Ἐκκαύσαντες τήμους, ἐπίθετε αὐτοὺς ὑπεράνω αὐτῶν. Κώνων εἶπεν· Δὸς ἐν τῷ μέσῳ τὰ βασανιστήρια, καὶ τότε γνώσῃ δύναμιν Χριστοῦ. Δομετιανὸς Κόμης εἶπεν· Διὰ πυρὸς ὑμᾶς ἀναλίσκω... Κώνων εἶπεν· Πέποισο ὅτι οὐκ αἰσθανόμεθά σου τῆς πυρᾶς. Δομε-

ἑστῶτες ἀνδρείως,
50 φέρουσι τὰ στίγματα
Χριστοῦ ἐν τοῖς μέλεσι
καὶ στεφανηφόροι χορεύουσιν.

Νευρωϑέντες τῇ ἀσκήσει οἱ στεφανῖται
καὶ προϑανατισϑέντες
55 τῷ κόσμῳ ἐν ἄϑλοις,
πίστει νῦν κεκόσμηνται,
ἀπαύστως κραυγάζοντες·
« στηριγμὸς ἡμῶν σὺ εἶ, κύριε ».

ϑεοτ. Ὁ καϑήμενος ἐν κόλποις πατρὸς ἀΰλου
60 ἐκ σοῦ σαρκὶ γεννᾶται
Χριστός, ϑεοτόκε,
εἷς μὲν τὴν ὑπόστασιν,
διπλοῦς δὲ ταῖς φύσεσιν
f. 104v ἐνεργείαις || ⟨τ⟩ε καὶ ϑελήμασιν.

ᾠδὴ ε′. *Σύ, κύριέ μου, φῶς*

65 ⟨Σ⟩ύ, κύριε, ἰσχὺς
τῶν μαρτύρων καὶ καύχημα,
σὺ ἄπλετος ϑυμηδία
καὶ τρυφὴ αἰωνία
ὑπάρχεις, ὑπεράγαϑε.

---

54 προϑανατισϑέντες in lexicis deest 64 littera ⟨τ⟩ in margine recisa.
heirm. ε′ EE 94, n. 133, Joannis 65 littera grandis recisa

τιανὸς Κόμης εἶπεν· Ἐκκαύσαντες τήγανον, καὶ ἐμβαλόντες ἔλαιον εἰς αὐτό, ἐπιῤῥίψατε αὐτοὺς εἰς τὸ τήγανον, ὅπως καὶ νῦν ἅψηται τὸ πῦρ. Κώνων εἶπεν· Τί ἔστι τοῦτο; καταπαίζουσίν σου οἱ ὑπηρέται, καὶ οὐκ ἐϑέρμαναν καλῶς τὸ τήγανον. Δομετιανὸς εἶπεν· Ἀρόντες αὐτοὺς ἀπὸ τοῦ τηγάνου, κρεμάσατε αὐτοὺς κατὰ σφυρῶν, καὶ ὑποκαπνίσατε αὐτοὺς δριμυτάτως, ὅπως ἀποπνιγῶσιν. Κώνων εἶπεν· Τὸ πῦρ σου οὐχ ἥψατο ἡμῶν· καὶ τοῦ καπνοῦ σου οὐ φροντίζομεν.

53 Cfr. notas ad vv. 7-9

70 Πῦρ καὶ ξίφη, ϑηρῶν
τοὺς ὀδόντας οὐκ ἔπτηξαν
οἱ ἔνδοξοι ἀϑλοφόροι
γεγηϑότες, τῇ πίστει
Χριστοῦ στερροὶ ποιούμενοι.

75 Αἷς βάλλεσϑε πληγαῖς
καρτεροῦντες ἠγάλλεσϑε,
ὡς στέμμασι καὶ πορφύραις
ϑείαις ἠμφιεσμένοι,
ἀξιύμνητοι μάρτυρες.

ϑεοτ. 80 Τίς βλέπων ἐπὶ γῆς
τὸν ἐν κόλποις ἀΰλου πατρός,
οὐ δέδοικε καὶ οὐ φρίττει,
ϑεοτόκε, ὠλέναις
ταῖς σαῖς σαρκὶ φερόμενον;

ᾠδὴ ϛ′. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

85 Ῥήξαντες
ἐν τῷ σταδίῳ, ἅγιοι μάρτυρες,
τὴν τοῦ ἐχϑροῦ τυραννίδα
τοῦ σταυροῦ δυνάμει, ὡς νικηφόροι
παραδείσου
90 τῆς τρυφῆς ἀπολάβεσϑε χαίροντες.

f. 105 || Οἴχεται
ἡ τῶν δαιμόνων φάλαγξ ὁρῶσα ὑμῶν
⟨τὰς⟩ τῶν τιμίων λειψάνων
ϑήκας, ἀϑλοφόροι, καὶ εἰς ἀβύσσους
95 ὀλλυμένη,
ἐν αὐταῖς αἰωνίως ὀδύρεται.

---

70 ϑυρῶν 71 ἔπτυξαν 74 στερρῷ 75 βάλεσϑαι cd.: cfr. PSALTES, 201-202
heirm. ϛ′ EE 94, n. 133, Joannis 90 ἀπολάβεσται 93 τὰς scripsi: propter marginem recisum syllaba deest

---

70-71 Cfr. commentarium p. 314.

Στήσατε
τῶν παθῶν μου τὸν ἄστατον κλύδωνα,
οἱ τοῦ Χριστοῦ ἀθλοφόροι,
100 καὶ καρδίας πόρρω τῆς ἐμῆς πάντα
τῶν κακῶν μου
τὴν πληθὺν ἐκδιώξατε, μάρτυρες.

θεοτ. Ὕψιστον
ὑπερφυῶς, παρθένε, κυήσασα
105 ἐκ σῶν ἀχράντων αἱμάτων
ἀνδρισθέντα, κόρη, σὺν ἀθλοφόροις
εἰρηνεῦσαι
τοὺς ἀνυμνοῦντάς σε ἐξικέτευε.

Κοντάκιον.

Ἦχος β΄. *Τὴν ἐν πρεσβείαις*

Τὸν ἐν ἀσκήσει
θερμότατον ἀριστέα
....

f. 105ᵛ ‖ ⟨Ὁ οἶκος.⟩

⟨Ἀνε⟩υφημεῖν μέλλων, ὁ θεός μου,
τὸν πιστόν σου οἰκέτην,
....

ᾠδὴ ζ΄. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Μὴ λατρεύσαντες ξοάνοις, καρτερώτατοι
110 κυρίου μάρτυρες,
ταῖς τῶν τυράννων ποιναῖς

κοντάκ. et οἶκ. PAS I, 574-575 in margine folii nonnullae litterae desunt
heirm. ζ΄ EE 100, n. 141, Joannis

οὐδ᾽ ὅλως καμπτόμενοι,
Χριστῷ κραυγάζοντες·
« ὑπερύμνητε,
115 ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

Νενικήκατε τὰ θράση τοῦ ἀλάστορος
ἐχθροῦ, στερρότατοι,
καὶ καθελόντες εἰς γῆν,
120 νεκρὸν ἀπεδείξατε,
Χριστῷ κραυγάζοντες·
« ὑπερύμνητε,
ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

125 Ὡς μειώσαντες τὴν πλάνην, οἱ ἀοίδιμοι
Χριστῷ συνωμίλησαν,
ὡς λυτρωτῇ καὶ θεῷ
ἀπαύστως κραυγάζετε
ἐν πολλῇ εὐφροσύνῃ·
130 « ὑπερύμνητε,
ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

f. 106 θεοτ. ‖ Σὺ ἐν φύσεσι διτταῖς τε καὶ θελήσεσι
καὶ ἐνεργείαις, ἁγνή,
135 τὸν ἐκ πατρὸς ⟨. . .⟩
ἀχρόνως ἐκλάμψαντα
⟨. . .⟩ προστέξασα,
μητροπάρθενε,
τοὺς γηγενεῖς ἀπήλλαξας
140 ἐκ φθορᾶς, θεοκυῆτορ.

---

vv. 115-116, 122-124, 131-132 om. cd. 135 tres syllabae desiderantur 137 cd. minime legitur

ᾠδὴ η΄. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Ὕμνοις εὐκλεῆ μνήμην κλεΐζων
δυάδος ἀξιεπαίνου καὶ θεόφρονος,
μέλπω εὐφραινόμενος,
σέβω ἀγαλλόμενος,
145 καὶ σὺν ἐμοὶ τὴν σύμπασαν
κτίσιν κραυγάζειν κινῶ·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

150 Νεῦσον προσηνῶς τοῖς ἐφυμνίοις,
πανεύφημε καὶ λαμπρὰ δυὰς θεόληπτε,
στέφουσα τοὺς μέλποντας,
σκέπουσα τοὺς κράζοντας
τῷ στεφανοῦντι 〈. . .〉
155 Χριστῷ τὰς κάρας ὑμῶν·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Γένους χοϊκοῦ λαχόντες ὄντως,
160 ἀγγέλων 〈τὴν〉 πολιτείαν ἐπεδείξασθε,
μάρτυρες πανεύφημοι,
f. 106ᵛ ‖ πάθη ὑπομείναντες
καὶ καρτερῶς ἐνέγκαντες
εἴδη βασάνων πολλά·
165 τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Ὅλην τοῦ Ἀδὰμ τὴν ἁμαρτίαν
ἐξείληφας, ἐν γαστρὶ τὸν ἕνα φέρουσα

heirm. η΄ EE 100, n. 141, Joannis vv. 148-149 om. cd. 154 tres syllabae desunt 156 κύριον supra lineam add. vv. 157-158 om. cd. 160 τὴν metri causa add. 169 ἐξείληψας

159 Gen. 2,7; I Cor. 15,47-49

170 τριάδος, ἀμόλυντε,
ὃν ἀεὶ δυσώπησον
τοῦ οἰκτειρῆσαι, δέσποινα,
τοὺς πίστει κράζοντας·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
175 καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ΄. *Ἅπας γηγενὴς σκιρτάτω τῷ πνεύματι*

Νύκτα ἀφεγγῆ
τῆς πλάνης οἱ μάρτυρες
ἀποδιώξαντες,
180 καὶ τὸ φῶς τῆς γνώσεως
τοῖς προσιοῦσι
τεμένει θείῳ πιστῶς
τῆς ἱερᾶς ἀθλήσεως
αὐτῶν παρέχουσι
185 τὰς ἰάσεις,
νῦν καὶ περιέπουσιν
ἀπὸ πάσης ὀργῆς τε καὶ θλίψεως.

Ὄλβον ἐπὶ γῆς
μηδ᾽ ὅλως κτησάμενοι,
190 πλοῦτον αἰώνιον
ἐκληρονομήσατε,
σὺν ἀσωμάτοις
νόες βραβεύοντες
τοῖς συνελθοῦσιν ἄφεσιν
195 τοῖς ἐκτελοῦσι χαρὰν
f. 107 τὴν ‖ ἁγίαν
μνήμην τὴν πανσέβαστον
τῆς δυάδος ὑμῶν, θεῖοι μάρτυρες.

θεοτ. Ὕμνον εὐπρεπῆ
200 τὸ μέλπειν οὐχ οἷόν τε,

heirm. θ΄ EE 100, n. 141, Joannis

ὦ κόρη πάνσεμνε,
τὸν διαιωνίζοντα,
παρθένε, λόγον
ἅτε δὴ τέξασα
205 τὸν τοῦ πατρὸς συνά⟨να⟩ρχον
πνεύματος θείου τε,
ὃν δυσώπει,
δέσποινα, σὺν μάρτυσιν
ἐλλαμφθῆναι ἡμῶν τὴν διάνοιαν.

---

204 τέξασαν 205 συνάρχον

IN SANCTUM PETRUM ANACHORETAM

Vat. gr. 2069 = Vb, ff. 203ᵛ-205ᵛ
Vat. gr. 2288 = Wl, ff. 1-2

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Πέτραν σε, Πέτρε, τῶν μοναστῶν αἰνέσω· ὁ ξένος.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις· Ἀρσένιος⟩.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ θεῷ

Πάσης ἀρχῆς,
ἄναρχε τριάς, μονὰς ὁ θεός,
πάτερ, υἱὲ σὺν πνεύματι,
ζωαρχικὸν κράτος,
5 χάριν λόγου παράσχου
τῷ σῷ δούλῳ ὑμνῆσαι
τὸν ὅσιόν σου πιστῶς.

Ἔδει τὴν σὴν
χάριν παρεῖναι, ἐξάρχειν τε
10 πιστῶς τῶν ἀνυμνούντων σε
καὶ ἀνακρούεσθαι
ἐπαξίως τὰ ἔργα
τοῦ ἐνθέου σου βίου,
Πέτρε μακάριε.

---

tit. Κανὼν τοῦ ὁσίου Πέτρου ψαλλόμενος τῇ ἑσπέρᾳ φέρων ἀκροστιχίδα ... Vb
nomen Ἀρσένιος, quod rubrica tacet, invenitur vero in theotokiis odarum α'-η'
initium canonis usque ad v. 28, nonnullis amissis foliis, deest in Wl
heirm. α' EE 37, n. 51, Cosmae

15 Τῆς τοῦ Χριστοῦ,
πάτερ, ἀκούσας φωνῆς ἀληθῶς,
ἐπ' ὤμοις τὸν σταυρὸν αὐτοῦ
χαίρων ἀράμενος,
ἠκολούθησας τούτῳ,
20 ὅπως ἀμείψῃ, πάτερ,
τὰ αἰωνίζοντα.

Ῥέοντα πῶς,
Πέτρε, ὁρῶν τὰ πικρῶντα τερπνά,
φθαρτὰ ὁμοῦ καὶ εὔφθαρτα,
25 σαυτὸν ἐχώρισας
f. 204 τῆς τοῦ βίου || ἀπάτης,
ὅπως κερδάνῃς, πάτερ,
τὰ αἰωνίζοντα.

θεοτ. * Ἀγγελικῶς
30 κράζομεν πιστοὶ τὸ « χαῖρέ » σοι,
τῷ Γαβριὴλ ἑπόμενοι,
ὅτι, τὸν κύριον
εἰληφυῖα ἀσπόρως
νηδύι καὶ τεκοῦσα,
35 ἐρρύσω λύπης ἡμᾶς.

ᾠδὴ β'. *Θεὸς ἀληθινὰ*
τὰ ἔργα αὐτοῦ

Ἀξίως τὸν σοφὸν
καὶ θεῖον Πέτρον
συνέλθωμεν
οἱ πιστοὶ ἀνυμνῆσαι.

---

23 πικρῶντα pro πικροῦντα, cfr. Psaltes, 234: πικρόντα Vb 25 ἐχώρησας Vb 29-35 θεοτ. SBN 9 (1957), 309 30 πίστει SBN 33 ἀσπόρως] ἀπειρόγαμος Wl 34 νηδύι om. Wl
oden β' om. Wl
heirm. β' EE 44, n. 59, Germani

40 Νεότητα τὴν σὴν
ἀναφῆ, πάτερ,
ἐτήρησας
μολυσμῶν ψυχοφθόρων.

Συντρέχει τῶν πιστῶν
45 τὰ πλήθη, πάτερ,
ὑμνῆσαί σου
τὴν πανίερον μνήμην.

Ἐνίκησας ἐχθροῦ
τὰς μηχανίας
50 τῷ ὅπλῳ
τοῦ σταυροῦ τοῦ κυρίου.

θεοτ. Ῥητῶς ὁ Γαβριὴλ
βοᾷ σοι « χαῖρε,
παρθένε »,
55 τῇ μητρὶ τοῦ κυρίου.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

Προθύμως συμπλακεὶς
ἐχθρῷ ἀλάστορι
νηστείαις
καὶ πόνοις καὶ ἀγρυπνίαις,
60 νοητῶς τοῦτον κατέρραξας
τῇ δυνάμει Χριστοῦ τοῦ παντοκράτορος.

Ἐφαίδρυνε Χριστὸς
τὸ σὸν μνημόσυνον,
παμμάκαρ·
65 ἰδοὺ γὰρ συντρέχει πόθῳ
μοναστῶν πλήθη μιγάδων τε
τῷ σεπτῷ σου ναῷ ἄκος ἀρύσασθαι.

---

46 ὑμῆσαι Vb
heirm. γ' EE 39, n. 53, Cosmae vv. 62-122 propter detrimentum chartae minime leguntur in Wl

Τὴν ἔρημον οἰκῶν,
παμμάκαρ ὅσιε,
70 μιμήσει
Ἠλιοὺ καὶ τοῦ Προδρόμου,
τῇ ἐλπίδι τῶν μελλόντων ἐσθλῶν
τὰ ἐπίπονα ταύτης ἐκαρτέρησας.

θεοτ. * Συνέλαβες θεὸν
75 ἀσπόρως, πάναγνε,
νηδύι
καὶ τέτοκας ὑπὲρ λόγον,
ὡς αὐτὸς μόνος ἐπίσταται,
ὁ φυλάξας ἁγνήν σε μετὰ κύησιν.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε, τὴν ἀκοὴν*

80 Ῥωμαλέῳ φρονήματι
τὰς τοῦ ἐχθροῦ
ἐξέκλινας, παμμάκαρ,
μηχανὰς δυνάμει
Χριστοῦ τοῦ σοῦ πλαστουργοῦ.

85 Ἐνεφάνισε κύριος
θαυμαστικῶς
καιροῖς ἐν τοῖς ἐσχάτοις
τῶν λειψάνων θήκην
σοῦ, πάτερ ὅσιε.

90 Τὸ μυρίζον σου λείψανον,
Πέτρε σοφέ,
ἀγροίκοις τοῖς ποιμέσιν
εἰς πολλῶν τὴν ῥῶσιν
Χριστὸς ἀνέδειξεν.

72 ἐσθλῶν] ἐθνῶν videtur in Wl 73 ταύτης] αὐ tantum legitur in Wl: fortasse αὐτῆς 74-79 θεοτ. SBN 9 (1957), 310
heirm. δ' MR I, 96 81 ταῖς Vb

95 Ὥσπερ μύρον μυρίζουσιν,
Πέτρε σοφέ,
ἰχῶρες τῶν λειψάνων
τῶν σῶν τοῖς προστρέχουσι
καὶ ἰάματα.

θεοτ. 100 * Εὐλαβῶς σοι κραυγάζομεν
« χαῖρε, σεμνή »,
τῇ μόνῃ ῥυσαμένῃ
τῷ ἀχράντῳ τόκῳ σου
ἐκ φθορᾶς τὸν Ἀδάμ.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγός*

105 Νεανικῶς τὸν ἐχθρόν,
f. 204v τὸν ἐγκαυχώμενον δεινῶς ‖ ἄντικρυς
θήσειν θεοῦ τὸν θρόνον καὶ εἶναι
ὅμοιον ὑψίστου,
κατέβαλες, πάτερ,
110 ἰσχύι τοῦ κτίστου σου.

Μαρμαρυγὰς τηλαυγεῖς
τῶν ἰαμάτων πρὸς θεοῦ ἄνωθεν
πᾶσι πιστοῖς ἡ θήκη ἀπαύστ⟨ως⟩
τῶν θείων λειψάνων
115 τῶν σῶν, Πέτρε θεῖε,
ἐκπέμπει προστρέχουσιν.

Οἱ τῷ ναῷ σου πιστῶς
ἀεὶ προστρέχοντες, σοφὲ ὅσιε,
ἄκος ψυχῶν τε καὶ τῶν σωμάτων
120 εἰς δόξαν τοῦ θεοῦ
λαμβάνοντες, οἴκοι
πορεύονται χαίροντες.

100-104 θεοτ. SBN 9 (1957), 311 102 ἡ μόνη ῥυσαμένη SBN
heirm. ε' EE 38, n. 51, Cosmae 106 ἄντικρίης Vb 111 τηλαγεῖς Vb 113 ἀπαύστως scripsi: minime legitur in Vb, deletum in Wl
121 οἴκει Vb

θεοτ. * Νυμφοστολῶν σε ποτὲ
ὁ Γαβριὴλ τῷ πλαστουργῷ, ἔκραζε·
125 « χαῖρε, ἁγνή, ἐξ ἧς ἀλοχεύτως
τεχθήσεται μόνος
ὁ σὲ πλαστουργήσας
θεάνθρωπος κύριος ».

ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Νῦν Ἑλλὰς ἐγκαυχᾶται τῇ μνήμῃ σου
130 γηθοσύνως, Πέτρε, κροτοῦσα τοῖς ᾄσμασι
τοῖς θεοπνεύστοις μάλιστα
καὶ βοᾷ σοι ῥυσθῆναι παντοίων δεινῶν.

Ἀκεστόρων τὴν τέχνην, μακάριε,
ὑπερῆρας, Πέτρε, ἀλθαίνων ἑκάστοτε
135 ἀπονητὶ τοὺς τρέχοντας
τῷ ναῷ καὶ λειψάνῳ σου, ὅσιε.

Σὺ ὡς πέλων τῷ Πέτρῳ συνώνυμος
τῷ πρωταποστόλῳ, παμμάκαρ ἀοίδιμε,
γέγονας καὶ τῆς χάριτος
140 ἀρετῆς τε τῆς τούτου συμμέτοχος.

θεοτ. * Ἱλασμὸν τῶν πταισμάτων αἰτήσαις ἡμῖν,
ὦ παρθενομῆτορ, τῷ υἱῷ καὶ κτίστῃ σου·
σὲ γὰρ Χριστὸς δεδώρηται
προστασίαν καὶ σκέπην τῶν σῶν οἰκετῶν.

123-128 θεοτ. SBN 9 (1957), 312
heirm. ϛ' EE 34, n. 46, Joannis 130 γηθοσύνω Vb vv. 134-218 minime leguntur in Wl 141-144 θεοτ. SBN 9 (1957), 312 141 αἰτῆσας Vb 142 τὸν υἱὸν καὶ κτίστην σου SBN 143 Χριστὸς] αὐτὸς SBN

Κάθισμα.

Ἦχος β'. *Τῷ θεῷ ἀπὸ μήτρας*

Εὐσεβῶς βιοτεύσας
ἐν θείοις ἔργοις,
ἐπὶ γῆς οὐρανόθεν
ἔλαβες χάριν
5 τῶν ἀσθενούντων ἰᾶσθαι ἀλγήματα
τῶν προστρεχόντων πιστῶς ἐν τῇ θήκῃ σου,
Πέτρε παμμάκαρ ἀοίδιμε·
διὸ ὑπὲρ ἡμῶν
δυσώπει τὸν κύριον.

θεοτ. Μήτηρ ἁγία τοῦ ἀχράντου φωτός,
ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνομεν.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

145 Τὸ πνεῦμα θεοῦ
ἐνοικῆσαν τῇ ψυχῇ σου, πάτερ ὅσιε,
θείων θαυμάτων σε ἀπειργάσατο
κρήνην, πηγάζουσαν ἅπασι
ῥῶσιν τοῖς πιστοῖς προσιοῦσιν
150 ἐν τῷ ναῷ σου καὶ ψάλλουσιν·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὢ θαῦμα τερπνόν,
ὅτι φέρει ἐναργῶς τοῦ παραδείσου
155 εἰκόνα, Πέτρε, τὸ πανίερον
καὶ ζῶν σου λείψανον, ὅσιε,

καθ. post odem γ' refert Wl, ubi minime legitur
heirm. καθ. HC 403 2 ἔργοις] λόγοις Wl θεοτ., quod om. Wl, simile videtur illi ed. in HR 220
heirm. ζ' EE 39, n. 53, Cosmae 145 θεοῦ om. Wl 146 ἐνοικήσας, postea emendatum ut in textu, Wl 147 ἀπειγάσατω Vb

ἐν τῷ ἀναβρύειν τὴν θείαν
εὐωδίαν τοῖς μέλπουσιν·
« εὐλογητὸς εἶ, ὁ θεὸς
160 ὁ τῶν πατέρων ἡμῶν ».

f. 205 ‖ Ναόν σε θεοῦ
καταγγέλλομεν ὑπάρξαντα, παμμάκαρ,
καί, ὡς ἔπρεπεν, ἐνσκηνώσασα
ἐν τῇ ψυχῇ σου, ἀοίδιμε,
165 χάρις αὐτοῦ πνεύματος, Πέτρε,
διὰ πολλὴν καθαρότητα,
ἐνεργεῖ πᾶσι διὰ σοῦ
καὶ νῦν τὴν ἴασιν.

Ἀγγέλων πληθὺς
170 ἀοράτως σὺν ἡμῖν δοξολογοῦσι
καὶ ἐπαξίως νῦν χορεύουσι
πνευματικώτατα, ὅσιε·
πρόσφορον ᾠδὴν τῇ σῇ μνήμῃ
καὶ τῷ σωτῆρι κραυγάζομεν·
175 « εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ὁ θεῖος χορὸς
προφητῶν σε προεκάλει, θεομῆτορ,
ἐν θείῳ πνεύματι ποικιλώτατα
180 ῥάβδον καὶ πλάκα καὶ τράπεζαν,
ὄρος καὶ χρυσῆν σε λυχνίαν,
πύλην, δι᾽ ἧς μόνος κύριος
ἐκ σοῦ προῆλθεν ὁ θεὸς
Ἐμμανουὴλ σαβαώθ.

---

157 ἀναβῦειν Vb ἀναβρῦν Wl post ἀναβρῦν legitur εὐωδίαν in Wl, ubi cetera deleta sunt 163 καὶ] γὰρ Wl 169-176 troparium om. Wl 177-184 θεοτ. SBN 9 (1957), 313 178 θεομῆτορ, προφητῶν / σὲ προεκάλει SBN 179 ἐν om. SBN 183 ἐκ σοῦ om. SBN ὁ θεὸς] Χριστὸς SBN 184 ἀδιάφθορον φυλάξας σε SBN

---

180 Is. 11,1; Ex. 31,18; Ex. 25,23 181 Dan. 2,34.45; Zach. 4,2 182 Ez. 44,1-2

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

185 Ἴασαι, πάτερ, σαῖς εὐχαῖς
τῶν ψυχῶν ἡμῶν τὰ πάθη καὶ σωμάτων·
παρρησίαν γὰρ ἔχεις
πρὸς τὸν τῶν ὅλων θεόν·
ποιεῖ γὰρ
190 τὸ θέλημα κύριος
τῶν εὐλαβουμένων
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ναρκήσω, μάκαρ, οὐδαμῶς
ἐξειπεῖν σου, ὅπερ εἶδον, θαῦμα μέγα
195 αὐταῖς ταῖς ὄψεσιν, Πέτρε·
καὶ γὰρ τῇ θίξει τοῦ σοῦ
λειψάνου
ἰάσω τὸν κάμνοντα
κάρας ἀλγηδόνα
200 ὁμοῦ καὶ τοῦ στομάχου.

Ἐν τῷ ναῷ σου προσδραμὼν
μετὰ πίστεως, ἰάθη, Πέτρε μάκαρ,
ἀλειψάμενος ἅμα
ἄκληρος παραυτὰ
205 ἐλαίῳ
κανδήλης σου, ὅσιε,
ὀδυνώδης νόσου
χειρὸς καὶ ἀλγηδόνος.

⟨Σ . . . .
210 . . . .
. . . .
. . . .
. . .
. . . .
215 . . . . . .
. . . .⟩

---

heirm. η' EE 35, n. 47, Joannis 201-208 troparium om. Wl 207 ὀδυνώδης scripsi: ὀδηματὴς Vb 208 ἀληδόνος Vb 209-216 troparium, quod in cdd. deest, ex acrostichide deducitur

Ὡς φοβερὸς σὺ κατ' ἐχθρῶν,
τῶν δαιμόνων καὶ αὐτοῦ τοῦ ἀρχεκάκου
εὑρετοῦ τῆς κακίας,
220 ὡς δὲ πραῢς τοῖς πιστοῖς
ὑπάρχεις
καὶ ἀκέστωρ μάλιστα
τοῖς σε μετὰ πόθου
ὑμνοῦσιν εἰς αἰῶνας.

θεοτ. 225 * Συνανεστράφη ἐπὶ γῆς
διὰ σοῦ θεὸς βροτοῖς, παρθενομῆτορ,
καὶ κατήλλαξεν οἴκτῳ
τοὺς ἀπωσμένους ἡμᾶς
τὸ πάλαι
230 αὐτοῦ τῷ γεννήτορι,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

Ὄντως τῇ νοῦ θεωρίᾳ
μετετέθης, παμμάκαρ,
235 ἐν τῷ σώματι, ὡς ἄσαρκος τελῶν,
καὶ γὰρ τὴν πρᾶξιν ἐπίβασιν
ταύτης εὗρες ὡς Παῦλος
καὶ ἄρρητα ἀκήκοας, σοφέ,
καὶ νῦν τούτῳ συνᾴδεις
240 θεῷ εὐχαριστήρια.

---

217 Ὡς φοβερὼς σοι Wl 220 πραεῖς Wl 223 πόθω Wl 224 αἰῶνας om. Wl 225-232 θεοτ. SBN 9 (1957), 314 225 Συνεστράφη Vb 226 δια σοῦ παρθενομῆτορ θεὸς ἀνθρώποις Wl Θεοτόκε, διὰ σοῦ Θεὸς ἀνθρώποις SBN 232 v. om. Wl
heirm. θ' EE 34, n. 46, Joannis 233 Οὗτως τὴν θεωρία Wl θεωρίᾳ] θερία Vb 235 τῷ om. Wl 236 τη πράξει ἐπίβασιν Wl 237 ταύτην Wl

---

234 ss. II Cor. 12,1-5

Ξὺν μοναστaῖς οἱ μιγάδες,
ἱερεῖς καὶ λογάδες,
ἰδιωτῶν τε πλήθη ἐν χαρᾷ
f. 205ᵛ πανηγυρίζουσι ‖ σήμερον
245 ἐν τῇ μνήμῃ σου, Πέτρε,
αἰτούμενοι πταισμάτων ἱλασμὸν
πρὸς τοῦ κτίστου εὕρασθαι
πρεσβείαις σου καὶ ῥῶσιν παθῶν.

Ἐπιβοῶ σοι, παμμάκαρ
250 χριστοπόθητε πάτερ·
οὐδ' ἔστιν ὡς ἐγὼ ὁ τὴν ᾠδὴν
ταύτην κομίσας σοι, ὅσιε·
ὡς ἡδύπνοα ῥόδα
πρόσδεξαί μου τὸ πρόθυμον ψυχῆς,
255 συγχωρῶν μοι τοῦ λόγου
τὸ ἄτονον, ὡς ὢν συμπαθής.

Νοῦν καὶ ψυχὴν καὶ τὸ σῶμα
ἐξ ἀμέτρων πταισμάτων
ὁρῶν νενοσηκότα μου, σοφέ,
260 ταῖς πρὸς τὸν κτίστην πρεσβείαις σου
εὐπροσδέκτοις, παμμάκαρ,
ἴασαι, ὥσπερ πάντας τοὺς πιστῶς
προσιόντας σοι, ὅπως
κἀγώ σε ἀνυμνῶ σὺν αὐτοῖς.

265 Ὁ τῆς εἰρήνης δεσπόζων,
ὑπερούσιε λόγε,
υἱὲ τοῦ συνανάρχου σου πατρὸς
συνισουργὲ καὶ τὸ πνεῦμά σου,
τὴν εἰρήνην παράσχου
270 λαῷ σου χριστωνύμῳ ταῖς εὐχαῖς
τοῦ ὁσίου σου, θραύων
τὰ τόξα Ἰσμαὴλ ἀπηνοῦς.

---

241 Σὺν Vb sed acrostichis repetit Ξὺν, prima littera in Wl non legitur 242 v. om. Wl vv. 249-250 minime leguntur in Wl 251 οὐδὲστινος Vb ὁ om. Vb 252 v. minime legitur in Wl 254 προσδέξης Vb 260 τὸν om. Wl 262 πιστοὺς Wl 264 ἀνυμνήσω Wl 265-272 troparium om. Wl

θεοτ. * Σὲ Ἰακὼβ προεκάλει
ὁ προπάτωρ σου, μόνη
275 ἁγνή, παρθενομῆτορ Μαριάμ,
κλίμακα θείαν ἐν πνεύματι,
δι' ἧς μόνος ὁ κτίστης
κατέβη ἐπὶ γῆς καὶ οἱ βροτοὶ
ἀνυψώθημεν ἄνω,
280 οἱ πίστει σὲ δοξάζοντες.

273-280 θεοτ. SBN 9 (1957), 315 276 θεῖον Vb 277 μόνος] κόσμος Vb 278 κατέβη] ἠκετεβη Vb 280 οἱ] ἐν SBN

---

273 ss. Gen. 28,12

IN SS. MM. ORESTEM, DIOMEDEM ET RHODONEM

Synaxarium 739: Ἄθλησις τῶν ἁγίων μαρτύρων Ὀρέστου, Διομήδους καὶ Ῥόδωνος.

Matrit. gr. 4694	= A,	ff. 18-20v
Hierosol. Sab. 70	= J,	ff. 34v-36v
Paris. gr. 1575	= Pv,	ff. 112-113
Vat. gr. 787	= Vw,	ff. 75v-76v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Σεπτοῖς ἀθληταῖς σεπτὸν ἐξᾴδω μέλος· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισμα*
ἀναπέμψωμεν, λαοί,

Στέφος
ἐκ χειρὸς ζωαρχικῆς
ὡς νικηταί, μακάριοι,
ἀναδησάμενοι,
5 οἱ τρεῖς τῇ παναγίᾳ
τριάδι παρίστασθε,
λύσιν ἡμῖν πταισμάτων
τοῖς ὑμνοῦσιν
ὑμᾶς ἐξαιτοῦντες.

---

tit. Ὁ κανὼν οὗ ἡ ἀκροστιχίς... J Vw nomen Ἰωσὴφ in margine praebent J Vw tantum ὁ κανὼν Pv, qui autem acrostichidem et nomen auctoris tacet
heirm. α' EE 225, n. 323, Germani vv. 1-9 ut secundum troparium praebet Pv

10 Ἔτι
τοῦ τῆς πλάνης σκοτασμοῦ
ἐκκεχυμένου, μάρτυρες,
εἰς τὴν ὑφήλιον,
ὡς ἀπλανεῖς ἀστέρες
15 ὑμεῖς ἀναλάμψαντες,
ἄθλοις ὥσπερ ἀκτῖσι
τῶν ἀπίστων
ηὐγάσατε φρένας.

Πίστει
20 συνελθόντες οἱ πιστοί,
Ὀρέστην τε καὶ Ῥόδωνα
ἀνευφημήσωμεν,
σὺν τούτοις Διομήδην
τὸν θεῖον γεραίροντες,
25 τοὺς τοῦ Χριστοῦ ὁπλίτας
καὶ τῆς πλάνης
στερροὺς καθαιρέτας.

f. 18v θεοτ. ‖ Τόμον
προεώρα σε ποτὲ
30 τῶν προφητῶν ὁ πρόκριτος,
ἐν ᾧ δακτύλῳ πατρὸς
σαρκούμενος ἐγράφη
ὁ λόγος, πανάμωμε,
βίβλῳ ζωῆς ἐγγράφων
35 τοὺς ἀμέμπτως
πολιτευομένους.

---

vv. 10-18 ut primum troparium refert Pv 10 Ὅτι A 15 ἀνελάμψατε A 21 ὀρέστην καὶ ῥοδίωνα A Pv Vw 23 διομήδην cdd. pro Διομήδη: cfr. PSALTES, 149-150 24 γεραίροντας A 32-33 ὁ λόγος ἀπεγράφη / σαρκούμενος ἄχραντε Vw

---

28 ss. Is. 8,1-4 34 Philip. 4,3; Apoc. 3,5; 20,15

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑμῶν

Ὄλβον ποθήσαντες
τὸν ἐπουράνιον, πανάοίδιμοι,
πάντων τῶν ἡδέων
40 τῶν τοῦ βίου ἑαυτοὺς
πίστει ἐμακρύνατε, εὐχαῖς προσεδρεύοντες
νηστείαις καὶ κακουχίαις,
ἕως οὗ τῷ παντουργῷ
οἰκειώθητε.

45 Ἴσοι τὴν ἔνστασιν,
ἴσοι τὴν ἄθλησιν ἀνεδείχθητε,
ἴσους τοὺς στεφάνους
ἀνεδήσασθε ὁμοῦ,
ἴσων τῶν ἐπάθλων ἀληθῶς ἐπετύχετε,
50 φωστῆρες τῆς οἰκουμένης,
ἀθλοφόροι τοῦ Χριστοῦ
πανάοίδιμοι.

Στάντες ὡς τρίγωνος
πύργος ἐνώπιον τοῦ δικάζοντος,
55 θείᾳ ἐπικλήσει,
τῆς τριάδος ἀθληταί,
πᾶσαν κατεστρέψατε τῆς πλάνης τὴν δόμησιν
καὶ ἑαυτοὺς θείους οἴκους
ἀνηγείρατε θεοῦ
60 διὰ πίστεως.

θεοτ. Ἄχραντε δέσποινα,
πιστῶν βοήθεια ἀκαταίσχυντε,
μή με καταισχύνῃς
ἐν ἡμέρᾳ πονηρᾷ,

---

oden β' om. Pv Vw
heirm. β' EE 226, n. 323, Germani 44 ᾠκειώθητε J 48 ἀνεδύσασθε A

65 ὅτε παραστῶ τῷ φοβερῷ Χριστοῦ βήματι,
ἀλλ' εὕροιμί σε προστάτιν
αἰωνίζοντος πυρὸς
ἐξαιρουμένην με.

ᾠδὴ γ'. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*
καὶ τὴν γῆν ἑδράσας
ἐπὶ ὑδάτων πολλῶν,
στερέωσόν με πρὸς ὕμνον
5 *τῆς δοξολογίας σου, κύριε.*

Θεολογίαις θείαις δικαστικῶν
70 πρὸ βημάτων στάντες,
σοφοὺς καὶ ῥήτορας
ἀλάλους ἀπεδείξατε,
μάρτυρες Χριστοῦ μεγαλώνυμοι.

Λυμαντικὰς ἐνέδρας τοῦ πονηροῦ
75 διαλύεις ὄντως,
δεινῶς δεσμούμενος
καὶ ῥάβδοις συντριβόμενος
πάντοθεν, Ὀρέστα πολύαθλε.

Ἠκονημένα βέλη ἐν τῇ ψυχῇ
80 τῶν σεπτῶν σου λόγων,
Ὀρέστα πάνσοφε,
ἀνδρείως κατηκόντισας
τοῦ παρανομίᾳ δικάζοντος.

---

66 προστάτην A
heirm. γ' EE 226, n. 324, Germani, tantum A integrum refert heirm. 5 καὶ δοξολογίαν σου EE 69 θείαις om. J θείων δογματικῶς A θείων διδακτικῶν Vw 70 στάντες] πάντες Vw 72 ἀλάλους] ἀλλήλους A 73 μάρτυρες usque ad μεγαλώνυμοι] σοφοὶ μεγαλομάρτυρες Vw 83 παρανομίαν J

79-83 Ps. 44,6

f. 19 θεοτ. Τὴν ἀπὸ γῆς πρὸς ὕψος περι‖καλλῆ
85 τεταμένην κλίμακα
ἀνυμνήσωμεν
παρθένον, δι' ἧς ὁ λόγος
ὤφθη τοῖς βροτοῖς σωματούμενος.

Κάθισμα

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Φωτισθέντες τῇ γνώσει τῇ εἰς θεόν,
τῆς ἀπάτης τὸ σκότος τὸ χαλεπὸν
ἐμφρόνως κατέλιπον
τοῦ κυρίου οἱ μάρτυρες
5 καὶ πολλῶν βασάνων
πυρὰν ὑπομείναντες,
τοῦ ἐχθροῦ τελείως
τὸ κράτος διέλυσαν·
ὅθεν ἰαμάτων
10 κομισάμενοι χάριν,
νοσήματα παύουσι
τῶν ἀνθρώπων ἑκάστοτε,
οἷς ἐν πίστει βοήσωμεν·
« πρεσβεύσατε Χριστῷ τῷ θεῷ
15 τῶν πταισμάτων ⟨ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην ὑμῶν⟩ ».

---

84 ὕψους A
κάθ. ante canonem (f. 33v) ut ἄλλο κάθ. refert J, qui ut primum κάθ. praebet Τριάδος ὑπέρμαχοι: cfr. app. crit. post odem ς' hoc. κάθ. om. Pv qui post odem ς' praebet κάθ. Τριάδος ὑπέρμαχοι: cfr. app. crit.
heirm. καθ. MR I, 68 vv. 15-17 om. J post τῶν Vw, post πταισμάτων A cetera om. verba contenta ab ἄφεσιν usque ad ὑμῶν add. ex MR V, 53, ubi κάθ. eiusdem heirm. refertur

---

84-85 Gen. 28,12

ᾠδὴ δʹ. *Ἐξ ὄρους κατασκίου,*
λόγε, ὁ προφήτης

Ἄγρυπνον τὸν νοῦν
90 κτησάμενοι, ἐμφρόνως
πάσας πονηρὰς
ἐφόδους τοῦ Βελίαρ
κατεκοιμήσατε χάριτι τοῦ σωτῆρος,
πανευκλεεῖς μεγαλομάρτυρες.

95 Ἵστασο εὐχάς,
Ὀρέστα, τῷ κυρίῳ
ἐναποδιδοὺς
ἀσείστῳ προαιρέσει
καὶ κατασείων τοὺς ἄφρονας γενομένῳ
100 σεισμῷ ταῖς θείαις ἐπινεύσεσιν.

Στόματι λαμπρῷ
Ὀρέστης τε καὶ Ῥόδων,
ἅμα τῷ στερρῷ
καὶ θείῳ Διομήδῃ,
105 χαριστηρίους ἀνέπεμπον ὑμνῳδίας,
ἀγωνιζόμενοι λαμπρότατα.

θεοτ. Σὲ τὴν τοῦ φωτὸς
νεφέλην ἱκετεύω,
νέφη σκοτεινά,
110 παρθένε, τῆς ψυχῆς μου
ἀποδιώξασα, φέγγει με μετανοίας
καταλαμπρύνασα, διάσωσον.

---

heirm. δʹ EE 224, n. 321, Joannis   95 εὐχαῖς Pv   104 διομήδη cdd. pro Διομήδει: cfr. etiam app. crit., v. 23   111 με] τῆς Vw   112 καταλαμπρύνουσα A

107-108 Is. 19,1

ᾠδὴ εʹ. *Τὸν ζόφον τῆς ψυχῆς μου*

Εἱρκτῇ σκοτεινοτάτῃ
συγκλεισθέντες, φωστῆρες θεῖοι, προστάγματα
115 τοῦ οὐρανίου δεσπότου
ἄτρωτα συντηρεῖτε,
θεοφανείαις τὸν νοῦν
ὑπερβαλλούσαις ἐμφρόνως
καταγλαϊζόμενοι.

120 Πυρίπνοοι δειχθέντες
ταῖς πρὸς κύριον ἀνενδότοις συννεύσεσιν,
τῆς δυσσεβείας τὴν ὕλην
ἐφλέξατε δι' ὅλου
καὶ ἀναλάμψαντες
125 ὥσπερ πυρσός, τοὺς ἐν σκότει
φωτίζετε, μάρτυρες.

f. 19v ‖ Τῇ ἄνωθεν ἐξ ὕψους
ἐνεχθείσῃ φωνῇ ἁγίᾳ στερρότατοι
ἀποδειχθέντες, πρὸς πᾶσαν
130 ἰδέαν τῶν βασάνων
ηὐτομολήσατε
καὶ νικηταὶ θείῳ σθένει
σαφῶς ἀπεφάνθητε.

θεοτ. Ὁ ἄνω συνεδρεύων
135 τῷ πατρὶ ὡς ὑπάρχων υἱὸς συνάναρχος,
κάτω ταῖς σαῖς σαρκοφόρος
κατέχεται ἀγκάλαις,
ἐχθροῦ δολίου χειρὸς
ἡμᾶς λυτρούμενος πάντας,
140 ἁγνὴ παναμώμητε.

---

heirm. εʹ EE 228, n. 327, Andreae   114 φωστῆρες om. Vw   θείω προστάγματι A Pv   θεῖα προστάγματα Vw   116 ἄτρωτον Pv   121 νεύσεσι Vw   125 ὥσπερ πυρσοὶ τοὺς ἐν κόσμω Vw   129 ἀποδειχθέντες] ἀνδρειωθέντες Vw

ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ,*

Νευροῦνται οἱ ἀθληταί,
φωνῆς ἐξ ὕψους ἀκούσαντες·
σεισμῷ τε καὶ ὑετῶν
σφοδρῶν ἐπικλύσεσι
145 πτοοῦνται οἱ ἄφρονες
καὶ μὴ συνιέντες,
διαμένουσιν ἀνίατοι.

Ἐν ζάλῃ τῶν θλιβερῶν
καὶ τρικυμίαις, μακάριοι,
150 τῶν χαλεπῶν αἰκισμῶν
ψυχῆς τὸ ἀγώγιμον
καλῶς διεσώσατε
καὶ πρὸς θεῖον ὅρμον
βασιλείας κατηντήσατε.

155 Ξενώσαντες ἑαυτοὺς
σαρκὸς καὶ κόσμου, θεόπνευστοι,
διὰ πολλῶν αἰκισμῶν
καὶ πόνων καὶ θλίψεων,
θεῷ οἰκειώθητε,
160 νῦν παραλαβόντες
βασιλείαν τὴν ἀσάλευτον.

θεοτ. Ἀπόπλυνον μολυσμοῦ
σαρκός, ἁγνή, μὲ καὶ πνεύματος
καὶ φώτισόν μου τὸν νοῦν
165 πολλαῖς ἀμαυρούμενον

---

heirm. ϛ' EE 220, n. 315, Joannis 142 ἀκούοντες Vw 143 σεισμῶν J Pv Vw 151 τὰ ἀγώγιμα J 155 Νενώσαντες Vw v. 158 καὶ θλίψεων μάρτυρες Vw 159 ᾠκειώθητε J Pv 162 μολυσμοὺς Vw 163 μὲ καὶ] καὶ τοῦ Vw

κακῶν ἐπιθέσεσιν,
ὅπως ἐν αἰνέσει
καταχρέως μακαρίζω σε.

ᾠδὴ ζ'. *Τῶν Χαλδαίων ἡ κάμινος*

Δεδεμένοι, μακάριοι,
170 τῷ φίλτρῳ τοῦ σωτῆρος,
διελύσατε σύνδεσμον
πολύπλοκον τῆς πλάνης
καὶ δεσμὰ καὶ θάνατον
ἀπεριτρέπτῳ νοῒ
175 καθυπεμείνατε.

Ὡραιότατον σύστημα,
καλλίστη συνοδία,
Διομήδης, Ὀρέστης τε
καὶ ὁ ἔνδοξος Ῥόδων
180 ἐδείχθησαν, ψάλλοντες·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

post odem ϛ' refert Pv κάθ. ineditum, quod J ante canonem (f. 33v) praebet: Κάθισμα. Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τριάδος ὑπέρμαχοι
ἀναφανέντες, σεπτοί,
πολύπλοκα βάσανα
ὑπὲρ αὐτῆς καρτερῶς
5 ὑπέστητε, μάρτυρες·
ὅθεν τελειωθέντες
ἀναβλύζετε πᾶσι
χάριν τῶν ἰαμάτων,
ἀπελαύνοντες πάθη
10 ψυχῶν τε καὶ σωμάτων ἀληθῶς,
ἀξιοθαύμαστοι.

heirm. ζ' EE 228, n. 327, Andreae 179 καὶ ἔνδοξος ῥοδίων Vw vv. 181-182 om. Vw 182 v. om. A Pv ἡμῶν om. J

Μερισμὸν οὐχ ὑπέστητε
δεινοῖς προσομιλοῦντες,
185 ἀνυμνοῦντες ἀμέριστον
τριάδα, ἀθλοφόροι
οἱ τρεῖς, καὶ κραυγάζοντες·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

f. 20 θεοτ. ‖ Ἐνοικήσας ἐν μήτρᾳ σου
191 ὁ θεοῦ θεὸς λόγος,
ἐκ τῆς φύσεως ἅπασαν
ἐξοίκισε κακίαν,
ἁγνή, τῶν τιμώντων σε
195 ὡς προστασίαν ἡμῶν
καὶ τεῖχος ἄρρηκτον.

ᾠδὴ η'. *Ὁ στεγάζων ἐν ὕδασι*

Λίθοις σέβας προσάγοντες
ἀναισθητούσῃ ψυχῇ,
λιθολεύστους ὑμᾶς
200 ποιοῦσι γνώμῃ
οἱ ἐχθροὶ πονηρᾷ,
ὥσπερ τὸν πρώταθλον
τῶν Ἑβραίων οἱ παῖδες, ἀθλοφόροι·
ὅθεν πρὸς τὴν πέτραν
205 τῆς ζωῆς θανόντες
μετέβητε ὁσίως.

---

183 Θερισμὸν A vv. 188-189 om. Vw post εὐλογητὸς cetera om. Pv
189 v. om. A 193 ἐξοίκησε A Pv ἐξώκισε J ἐξώκησε Vw
heirm. η' EE 228, n. 327, Andreae 199 ἡμᾶς A

202-203 Cfr. Act. 7,54-60 204-205 I Cor. 10,4

« Οὐκ ἀρνούμεθα κύριον
τὸν ἐπὶ πάντων θεόν,
οὐ γλυπτοῖς νέμομεν
210 ἄλογον σέβας »,
οἱ στερροὶ ἀθληταὶ
ἔλεγον, μέλλοντες
ἀναιρεῖσθαι ἀδίκως ὑπ' ἀνόμων·
ὅθεν ὥσπερ ἄρνες
215 λόγῳ τῷ τυθέντι
προσήχθησαν θανόντες.

Συναυλίας ἐπέτυχον
τῶν ἱερῶν ἀθλητῶν
ἀπὸ τοῦ αἰῶνος
220 τῶν ἀθλησάντων
ἀνδρικῷ λογισμῷ
Ῥόδων ὁ ἔνδοξος,
Διομήδης ὁ θεῖος καὶ Ὀρέστης,
οὓς ἐν εὐφροσύνῃ
225 σήμερον ὑμνοῦντες,
Χριστὸν δοξολογοῦμεν.

θεοτ. Ἰαμάτων ὑπάρχουσα
ἀδαπανήτων πηγή,
τῆς ψυχῆς μου πάσας
230 τὰς ἀρρωστίας,
θεοτόκε ἁγνή,
ἴασαι, δέομαι,
ὀχετούς μοι δακρύων δωρουμένη
πλύνοντάς με ῥύπου
235 τῶν ἁμαρτημάτων,
πανάχραντε παρθένε.

---

210 ἄμωμον σέβας A 212 μέλποντες A Pv 221 ἀνδρικῷ] ἱερῷ Vw
227 Ἰαμάτων] Ναμάτων Pv 230 τὰς ἀνωμίας Vw 234 με] μοι Pv

ᾠδὴ θ'. *Εὐλογητὸς ⟨ὁ⟩ κύριος*
ὁ θεὸς τοῦ Ἰσραήλ,
ὁ ἐγείρας
κέρας σωτηρίας ἡμῖν

Ὡς προσφοραὶ ὁλόκληροι,
ὡς θυσίαι καθαραὶ
τοῦ τυθέντος
240 λόγου, ἀθλοφόροι, σαφῶς
τῇ θείᾳ τραπέζῃ προσήχθητε,
ὀσμὴν ἀποπέμποντες ζωῆς
καὶ τὴν τῶν πρωτοτόκων
ἱερὰν φαιδρύνοντες
245 ὄντως ἐκκλησίαν.

Σωματικοῖς παθήμασιν
ὁμιλοῦντες ἀνδρικῶς,
ταῖς νιφάσιν,
μάρτυρες, τῶν λίθων, σοφοί,
250 χωννύμενοι, τούτοις ὡς κλίμακι
ἐπέβητε καὶ πρὸς οὐρανὸν
ἀνήλθετε, στεφάνους
νίκης κομιζόμενοι
ἐκ χειρὸς κυρίου.

f. 20v 255 ‖ Ἡ παναγία σήμερον
ἐπεδήμησεν ἡμῖν
τῶν μαρτύρων
μνήμη, χαρισμάτων φωτὶ
ἡμᾶς εὐσεβῶς καταυγάζουσα,

heirm. θ' EE 228, n. 327, Andreae heirm. 1 ὁ om. cdd. et EE, sed metro tropariorum quaeritur et plurimis exemplis testatur, ut in PaR 654
242 ζωὴν Vw 250 τούτους Vw 253 νίκην Vw

237-238 Eph. 5,2 242 ibid.; II Cor. 2,16 243-245 Hebr. 12,23

260 ἣν πίστει τελοῦντες, τῷ Χριστῷ
βοήσωμεν· « ταῖς τούτων,
λόγε, παρακλήσεσι
πάντας ἡμᾶς σῶσον ».

θεοτ. Φωτοειδὴς ὑπάρχουσα,
265 ὡς τὸ φῶς τὸ νοητὸν
τετοκυῖα,
ἄχραντε παρθένε ἁγνή,
Χριστὸν ἀληθῶς σωματούμενον,
αὐτὸν φωτισθῆναι καὶ ἡμᾶς
270 ἑκάστοτε δυσώπει,
τοῖς τοῦ βίου πάθεσιν
ἀπημαυρωμένους.

269 καὶ om. J 272 ἀπημαυρωμένοις A Pv

IN SANCTUM ONUPHRIUM ANACHORETAM IN AEGYPTO

Synaxarium 745-746: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου τοῦ Αἰγυπτίου. Οὗτος ἦν ἐξ Αἰγύπτου ἐν κοινοβίῳ διακειμένῳ ἐν Ἑρμουπόλει τῶν Θηβῶν. Καὶ ἀκούσας Ἠλιοῦ καὶ Ἰωάννου τοῦ προδρόμου τὸν βίον, ἐξελθὼν τοῦ κοινοβίου ᾤκησε τὴν ἔρημον, ἐπὶ ἑξήκοντα ἔτη ἄνθρωπον μὴ ἑωρακώς. Ὃν εὑρὼν ὁ μοναχὸς Παφνούτιος εἰς τὰ ἐνδότατα τῆς ἐρήμου χωρήσας τοῦ εὐλογηθῆναι ὑπὸ ἁγίων ἀνδρῶν, τὸν ἀριθμὸν δεκαεπτὰ ἡμέρας διοδεύσας, καθίσας πλησίον αὐτοῦ, παρεκάλεσεν αὐτὸν τό τε ὄνομα αὐτοῦ εἰπεῖν καὶ πάντα τὰ περὶ αὐτοῦ ἐξηγήσασθαι. Ἃ καὶ μαθὼν ὕστερον τοῖς ἐν τῇ Σκήτει μοναχοῖς ἀνήγγειλεν ..... Τότε δὲ ἐν τῷ παρεῖναι αὐτόν, τοῦ ὁσίου πρὸς Κύριον ἐκδημήσαντος, διελὼν τὸ ἑαυτοῦ τριβώνιον εἰς μέρη δύο, τὸ ἓν ἐπέβαλε τῷ τοῦ ἁγίου λειψάνῳ· καὶ γὰρ ἦν γυμνὸν θριξὶ μόναις λευκαῖς σκεπόμενον.....

Bodl. gr. Auct. E 5.2	= Oa,	ff. 13-14
Paris. gr. 1569	= Rc,	ff. 100-101^{v}, 106
Crypt. Δ.α. XXIII	= Cn,	ff. 26^{v}-28^{v}
Vat. gr. 2110	= Vc,	ff. 6-10^{v} (6, 9, 8, 7, 10)
Sinait. gr. 630	= Σδ,	ff. 18^{v}-19^{v}
Paris. gr. 1567	= Rb,	ff. 30^{v}-31^{v}
Sinait. gr. 639	= Σζ,	ff. 235^{v}-239^{v}

Ὁ κανών.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἅρματα Φαραὼ*

Αἴγλῃ τῆς τριφεγγοῦς
ἐλλαμπόμενος ζωῆς,
ζόφου με ἐξάρπασον

---

tit. nomen θεοφά⟨νους⟩ refert Rc, sigla Ἰωάννου Cn, Ἰωσὴφ Σδ, Γερμανοῦ Rb in margine praebent ceteri cdd. nomen auctoris om. alternatis odis, duos canones praebet Σζ: priorem quem referimus, alterum, adhuc ineditum, in S. Petrum Athonitam, inc. Ἄλλον ἡμῖν Πέτρον heirm. αʹ EE 104, n. 147, Andreae, variis cum lectionibus integrum praebent Σδ Rb Σζ 1 τριφεγγοῦς] τριλαμποῦς Rb

θανατηφόρου πταισμάτων
5 σοῦ ταῖς προσευχαῖς, Ὀνούφριε,
ὅπως ὑμνήσω τὴν μνήμην σου.

Κόσμου ἀπορραγείς,
οἰκειώθης τῷ Χριστῷ,
σάρκα καθυπέταξας
10 τῷ λογισμῷ καὶ δοχεῖον
ὤφθης τοῦ ἁγίου πνεύματος,
πάτερ θεόφρον Ὀνούφριε.

Στύλῳ τοῦ θεϊκοῦ
ὁδηγούμενος φωτός,
15 Αἴγυπτον κατέλιπες
τὴν τῶν παθῶν καὶ πρὸς ὕψος
τὸ τῆς ἀπαθείας ἔφθασας
καὶ τῷ θεῷ προσωμίλησας.

Ὡς φοῖνιξ δαυϊτικῶς
20 ἐν τῷ οἴκῳ τοῦ θεοῦ,
δίκαιε, ἐξήνθησας,
τῷ γλυκασμῷ σου τῶν πόνων
πάντων καθηδύνων, πάτερ σοφέ,
τὰ τῆς ψυχῆς αἰσθητήρια.

---

4 θανατηφόρων Oa Rb Σζ 6 ὑμνοῦμεν Oa μνήμην] δόξαν Rb 7 Κόσμω Oa 8 ὠκειώθης Rc Σδ ὠκοιώθης Σζ τῷ θεῷ Σδ 12 πάτερ om. Vc 13-18 troparium om. Cn 13 Στύλου Vc Σζ 15 κατέλαβες Vc 19-24 troparium om. Vc Σδ Rb Σζ 21 δίκαιος Cn 22 τοῦ λογισμοῦ σου τὸν τόνον Cn 23 πάντας Oa

---

13-14 AA.SS. Iun. II (1698), 529 B: ..... ἦλθον εἰς τὴν ὁδὸν τοῦ ὄρους, εἰσελθεῖν ἐν τῇ ἐρήμῳ βουλόμενος· καὶ ὁρῶ φῶς ἐναντίον μου, ὥστε βουλήσασθαί με ὑποστρέψαι, καὶ τὸν τόπον καταλαβεῖν ἐν ᾧ πρωὴν ἐτύγχανον ..... Ἀλλὰ τῆς περὶ τὰ μείζονα ἐν Κυρίῳ προκοπῆς, κατὰ τὴν αὐτοῦ πρόνοιαν, καὶ τοῦτον τεκμήριον γέγονέ μοι.

13-14 Cfr. Ex. 13,21 19-21 Ps. 91,13-14

θεοτ. 25 Ἔτεκες τὸν πρὸ σοῦ
γεννηθέντα ἐκ πατρός,
ἔμεινας δὲ ἄφθορος
καὶ μετὰ τόκον παρθένος·
ὅθεν θεοτόκον σε ἀληθῆ
30 ὁμολογοῦμεν, πανύμνητε.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἀγγελικῇ ἑπόμενος ὁράσει,
τὴν ἔρημον κατέλαβες
καὶ ἐγκρατείᾳ τὰς τῆς σαρκὸς
ἡδονὰς καταμαράνας,
35 ἀγγελικῶς ἐβίωσας
ἐν ταύτῃ, Ὀνούφριε.

Πεφυτευμένον ξύλον διεξόδοις
ὡράθης τῆς ἀσκήσεως
καὶ ἐν εὐθέτῳ, πάτερ, καιρῷ
40 εὐκαρπίαν ἐναρέτων
ὡς ἀληθῶς ἀπέδωκας,
Ὀνούφριε, πράξεων.

Ὁλοφαὴς ἀστὴρ τῇ οἰκουμένῃ
ἐκ τῆς ἐρήμου ἔλαμψας
45 καὶ κατεφαίδρυνας τῶν πιστῶν

---

26 πατρὸς] πνεύματος Vc 27 δὲ ἄφθορος] δι ἀφθορὰς Vc 28 παρθένε Oa Vc 29 σε θεοτόκον Oa σε om. Rb ἀληθῶς Σζ
heirm. γ' EE 104, n. 147, Andreae, integrum referunt Σδ Rb Σζ 33-34 τὰς ἡδονὰς / τῆς σαρκὸς Rb 34 καταμαραίνων Oa 35-36 ἀγγελικῶς ὀνούφριε / ἐν ταύτῃ ἐβίωσας Oa 36 Ὀνούφριε] μακάριε Cn Σζ 38 δι' ἀσκήσεως Cn 41 ἐπέδωκας Σζ 42 τῶν πράξεων Vc 45 τῶν om. Σδ

---

31 AA.SS., 529 B-C: Ἰδοὺ γὰρ φοβηθέντος μου ἔνδοξός τις ἔστη ἔμπροσθέν μου, καὶ ἐγγύσας μοι ἔφη· Μὴ φοβεῖσθαί με· Ἐγώ εἰμι ὁ Ἄγγελος ὁ συμπορευόμενός σοι ἐκ νεαρᾶς ἡλικίας..... Καὶ ταῦτα λαλήσας μοι περιεπάτησεν μετ' ἐμοῦ, καὶ ἤλθομεν ἐν τῇ ἐρήμῳ.....

37-42 Ps. 1,3

ταῖς ἀκτῖσι τῶν ἀγώνων
τὰ εὐσεβῆ συστήματα,
πατὴρ ἡμῶν ὅσιε.

θεοτ. * Τῶν προπατόρων ἔλυσας τὴν λύπην,
50 χαρὰν ἡμῖν κυήσασα,
τὸν ζωοδότην καὶ λυτρωτήν,
παναγία θεοτόκε,
ὃν ἐκτενῶς ἱκέτευε
σωθῆναι τὴν ποίμνην σου.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

* Ἐμάκρυνας, ὅσιε,
καὶ ἐν ἐρήμοις σαφῶς
....

f. 13v ‖ ᾠδὴ δ'. *Εἰσακήκοα, ὁ θεός,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

55 Ἐκδυσάμενος τὸν φθαρτὸν
τῆς ἁμαρτίας χιτῶνα, πάτερ,
δικαιοσύνης ἀδιάφθορον
τὴν στολὴν ἐνδέδυσαι
καὶ τῆς παστάδος ἔνδον ἐχώρησας.

60 Προσευχαῖς ἀπαύστοις τὸ φῶς
τῆς θείας γνώσεως θησαυρίσας

---

48 πάτερ Vc 49-54 θεοτ. PaR 305 52 παναγία] πάναγνε Oa 54 σωθῆναι τὰς ψυχὰς ἡμῶν Vc PaR
κάθ. MR V, 276 ante canonem praebent Cn Vc Rb
heirm. δ' EE 107, n. 150, Andreae, integrum referunt Σδ Rb Σζ 55 τὸν] τὸ Cn 57 δικαιοσύνης] ἀπαθείας Oa ἀδιάφθορον] ὀνούφριε Cn Σζ 60-64 troparium om. Vc Rb

---

55-59 Cfr. Matth. 22,11-12

ἐν καρδίᾳ σου, πατὴρ ἡμῶν,
ἀγνωσίας ἔφυγες
ἐζοφωμένην πλάνην, Ὀνούφριε.

65 Τὴν στενὴν βαδίσας ὁδὸν
καὶ τεθλιμμένην ἐν γῇ, θεόφρον,
πρὸς εὐρύχωρον κατήντησας
καὶ χαρᾶς ἀνάπλεων
τῶν οὐρανῶν ἀπόλαυσιν, ὅσιε.

70 Θῆρες ἄγριοι τῶν παθῶν
εἰρήνευσάν σοι, μετὰ θηρίων
αἰσθητῶν ἐνδιατρίβοντι
ταῖς ἐρήμοις, ὅσιε,
καὶ θεωρίαις θείαις σχολάζοντι.

θεοτ. 75 * Σωτηρίαν σε ἐν παντὶ
καιρῷ καὶ τόπῳ ἐπικαλοῦμαι,
μὴ παρίδῃς με, πανάμωμε,
ἡ θεὸν κυήσασα,
τὸν λυτρωτὴν ὁμοῦ καὶ σωτῆρά μου.

ᾠδὴ ε΄. *Ἀνάτειλόν μοι, κύριε,*

80 Ἀνέτειλέ σοι κύριος,
ὃν ἐκ ψυχῆς ἐπόθησας
τῆς ἀπαθείας φῶς ἀνέσπερον,

65-69 troparium om. Cn 65 βαδίσατοδὸν Vc 66 καὶ] ὡς Oa γῆν Vc 67 εὐοῦχωρον κατήτησας Vc 69 τῶν] τὴν Rc Vc 70-74 troparium om. Σδ Σζ 71 μετὰ τῶν θηρίων Oa 75-79 θεοτ. PaR 306 76 ἐπὶκαλούμεν Vc 79 ὁμοῦ] χριστὸν Cn

heirm. ε΄ EE 106, n. 149, Andreae, integrum refert Σζ 80-86 ut secundum troparium, post vv. 87-93, refert Σζ 80 Ἀνέστειλε Oa κύριε Vc 82 ἀπαθείαν Vc

---

71-73 K. Δουκάκη, *Μέγας Συναξαριστὴς πάντων τῶν ἁγίων,* VI (1892), 101: ἔχω δὲ εἰς τοῦτο τὸν τόπον χρόνους ἑβδομήκοντα μὲ θηρία συνδιαιτώμενος ..... De hac re *Vita* in AA.SS. silet.

65-66 Matth. 7,13-14 70-71 Job 5,23

Ὀνούφριε, καὶ κόσμον
ἐν τοῖς διηγήμασι
85 τοῦ ἀμέμπτου βίου σου
πάντα κατέλαμψεν, σοφέ.

Ἀγγέλοις ὁμοδίαιτον
Παφνούτιος εὑράμενος
ἐν τῇ ἐρήμῳ σε, τὸν μέγαν
90 ἰσάγγελον φωστῆρα,
εὐσεβῶς τοῦ βίου σου
πᾶσιν ἐφανέρωσε
τὰ κατορθώματα πιστοῖς.

Λαὸν θεῷ προσήγαγες
95 καὶ ἐκκλησίαν ἤγειρας,
ἐν ᾗ Χριστὸς πιστῶς οἰκήσας,
ταῖς θείαις διδαχαῖς σου
ἐν αὐτῇ δοξάζεται,
κατὰ Παῦλον τὸν μέγαν
100 ἀρχιτέκτων γεγονώς.

Ὡς ἀγαθὸν ἡγούμενος,
Ὀνούφριε μακάριε,
τὸ προσκολλᾶσθαι τῷ κυρίῳ,
ἐν τούτῳ τὰς ἐλπίδας
105 ἐκ ψυχῆς ἀνέθηκας
καὶ αὐτοῦ τὴν αἴνεσιν
ἔσχες ἐν στόματι ἀεί.

---

85 ἀμέμπτου] μέλπτου Vc σου βίου Rc 86 πάντα om. Vc κατέλαμψας Oa Σζ κατελάμπρυνεν Vc 87-93 troparium om. Vc 87 Ἀγγέλων ὁμοδίαιτος Oa 88 εὑρούμενος Rc 89 μέγα Oa 91 τῶ βίω σου Oa 93 πιστοῖς] σοφὲ Σζ vv. 94-100 om. Cn Σδ Rb Σζ et post vv. 101-107 referunt Rc Vc 94 Λαὸν] Νικὸν Vc 96 Χριστὸς om. Rc οἰκίσας πιστὼς Vc 103 τῷ κυρίῳ] τῶ θεῶ ἡμῶν Cn Σζ 107 ἐν στόματι] τῶ στόματι Rb ἐν τῶ στόματι Σζ

---

100 I Cor. 3,10

θεοτ. * Ἀνάτειλόν μοι, δέσποινα,
ἀκτῖνα τοῦ ἐλέους σου,
110 τῷ ἐν τῷ σκότει τῶν πταισμάτων μου
ὑπάρχοντι, παρθένε,
καὶ πρὸς φῶς ὁδήγησον
μετανοίας, δέομαι,
σωτηρίας καὶ ζωῆς.

ᾠδὴ ς'. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

115 Τῷ κρύει
πηγνυμένης τῆς σαρκός σου,
τῇ θέρμῃ τοῦ πνεύματος
ἐθάλπετό σου τὸ πνεῦμα,
τῷ δὲ καύσωνι κάμνοντα, σοφέ,
120 ἡ δρόσος ἀνέψυχε
τῆς οὐρανίου σε χάριτος.

Ὡς γνώμων
καὶ κανὼν τῆς ἐκκλησίας,
πατὴρ ἡμῶν, ἔδειξας
125 τῶν μοναζόντων τὸ σχῆμα,
διορίσας τὴν μύησιν αὐτοῦ
καὶ φράξας τῶν ἀπίστων
τῆς βλασφημίας τὰ στόματα.

108-114 θεοτ. PaR 307 109 ἀκτῖνας Σδ 110 τῷ ἐν] τὸν ἐν Vc, τοῦ ἐν Σζ μου om. Rb 114 ἵνα πίστει σε ὑμνῶ Oa PaR
heirm. ς' EE 107, n. 150, Andreae, integrum referunt Σδ Σζ 116 πηγνύμενος Oa Σζ πήγνυμε· νῦν τῆς σαρκός μου Vc 117 θερμῆ Σδ 118 ἐθάλπετό σου] ἔνθαρπετέ σου Vc 119 τῶ δικαύσονι Vc καύσωνι om. Σζ κάμνοντι Oa Cn Vc Σδ Rb Σζ 120 ἀνεψύχη Oa Vc ἀνεψύχει Σζ 121 οὐρανίου] σωτηρίου Cn χάριτου Vc 122-128 troparium om. Rc Cn Σδ Rb Σζ 124 πατὴρ ἡμῶν] ἀποστόλων Vc

---

115-121 AA.SS., 530 F: Πίστευε, ἀδελφὲ ἀγαθέ, τοσοῦτον ὑπέστην κόπον, ὥστε ἀπέλπισα ἐμαυτὸν πολλάκις μέχρι θανάτου, τῆς τε πείνης καὶ δίψης ἐπικειμένης μοι, ἅμα δὲ καὶ τοῦ πυρὸς καὶ καύσωνος τῆς ἡμέρας, καὶ τοῦ ψυχροῦ ἀέρος τῆς νυκτός· καὶ ἐβάφη ἡ σάρξ μου ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ.

Σπηλαίῳ
130 ὁ τεχθεὶς καὶ ἐν ἀγκάλαις
πρεσβύτου ὡς νήπιος
δεχθῆναι καταξιώσας,
νηπιάζοντα ἔργοις ἀγαθοῖς
πρεσβύτην ἐν σπηλαίῳ
135 σὲ στοιχειοῖ πρὸς τὰ κρείττονα.

Μολοῦντι
πρὸς τὴν ἔρημον θεόθεν
προηγεῖτο, ἔνδοξε,
φωταύγεια, τὸ ἐκεῖθεν
140 μέλλον φῶς διαδέχεσθαί σε νῦν,
προγράφουσα καὶ δόξαν
τὴν εἰς ἀεὶ διαμένουσαν.

θεοτ. Ἄβυσσον
τοῦ ἐλέους ἡ τεκοῦσα,
145 παθῶν μου τὴν ἄβυσσον
πελάγει τῶν οἰκτιρμῶν σου
κατακλύσασα, ὄμβρους ἐκ ψυχῆς
παράσχου μοι δακρύων,
θεογεννῆτορ πανάμωμε.

129-135 troparium post vv. 136-142 referunt Rc Cn Σδ Rb Σζ 130 καὶ om. Σδ 131 νήπιου Vc 133 ἀγαθοῖς] πονηροῖς Rb 134 πρεσβύτην Σζ πρεσβύτη ceteri cdd. 135 στοιχειροὶ Vc 136-142 troparium om. Vc 138 προηγεῖται Cn Rb προήγηται Oa 139 φωταγωγία Oa Rc τῶν ἐκεῖθεν Oa φωταυγεῖα τοῦ ἐκεῖθεν Cn φωταγωγίας ἐκεῖθεν Σδ φωταυγεία Rb Σζ τὸ ἐκεῖσε Σζ 141 προγράφουσαν Cn Σδ 144 τοῦ ἐλέους σου Vc 147 κατακλύζουσα Cn 148 παράσ Oa
post odem ς' refert Rc κοντάκ. Ἀστὴρ φαεινὸς HR 200 et οἶκ. ineditum:
Ὁ οἶκος.
Τῇ (Ἡ cd.) πρὸς θεὸν τελείᾳ σου σκέπῃ
ἐν γῇ ὄντα, ἐν ὄρει
ἐγυμνώθης σαρκὶ

136-139 Cfr. notas ad vv. 13-14.

130-132 Luc. 2,28

ᾠδὴ ζʹ. *Ὁ ἐν τῷ ὄρει*
Μωϋσῇ συλλαλήσας

150 Ὁ δι᾽ ὀρνέου
Ἠλιοὺ διαθρέψας,
αὐτός σοι

καὶ ψύχους πάντα ὑπέμεινας,
5 θέρους δὲ πάλιν ἐν τῷ ἡλίῳ
τὰς φλογώδεις ἀκτῖνας
τὰς τούτου, μάκαρ,
νῦν ἐπαρκῶν ἐν λιμῷ τε καὶ δίψει ἐγκαρτερεῖς
ἐν πόνοις, κόποις καὶ μόχθοις,
10 ψαλμῳδίᾳ ἀπαύστως ὡς ἄγγελος
θεὸν τὸν μόνον δημιουργόν,
ἐν τριάδι ἀπαύστως ὑμνούμενον,
⟨πρεσβεύων, Ὀνούφριε,
ὑπὲρ πάντων ἡμῶν⟩.

κοντάκ. Ἐπιλάμψει πνεύματος AK 253 praebet Σζ, qui οἶκ. ineditum add.:
Ὁ οἶκος
Τίς ἐξείποι τοὺς σοὺς
ἀγῶνας, παμμακάριστε,
ἢ τίς τῶν γηγενῶν
ἀξίως ἐπαινέσειε (ἐπαινέσει σε cd.)
5 τὴν σὴν πολιτείαν, Ὀνούφριε πάτερ;
ὥσπερ γὰρ ἄσαρκος ἐκαρτέρησας,
βοτάναις τρεφόμενος·
τροφὴν δὲ ἔσχες Χριστὸν τὸν κύριον,
ἐν ᾧ τὴν σεαυτοῦ ἐλπίδα τέθηκας,
10 γυμνὸς διάγων ἐν ταῖς ἐρήμοις,
τῷ κρύει καὶ τῷ παγετῷ
ὡς ἄσαρκος ἐγκαρτερῶν·
διὰ τοῦτο αὐτός σε
φωστῆρα πᾶσι δεικνύει
15 Χριστός σε, μάκαρ, ὁ μεγαλόδωρος.

heirm. ζʹ EE 104, n. 146, Germani, integrum referunt Rc Σδ Rb Σζ
151 διαπρέψας Cn 152 σοι] σε Σζ

152-153 AA.SS., 530 F: .....ὁ δὲ ἀγαθὸς θεός, εἰδὼς ταῦτα ὑπενεγκότα με ..... ἐκέλευσε τῷ ἁγίῳ Ἀγγέλῳ αὐτοῦ φέρειν πρός με τὴν καθημερινὴν τροφὴν καὶ ὕδωρ ἐκ μέτρου.....

150-151 III Regn. 17,6

δι᾽ ἀγγέλου τροφὴν ἐκπέμπει,
σὲ μεγαλύνων, ὅσιε,
155 τὸν αὐτὸν μεγαλύναντα.

Φοῖνιξ καθάπερ
διεξόδοις βλαστήσας
ὑδάτων
τῆς ἀσκήσεως, βρῶσιν ἔσχες
160 φοινίκων, τρέφων ἅπαντας
ἀμβροσίᾳ τῶν πόνων σου.

Ταῖς θεωρίαις
πλατυνόμενος, πάτερ,
τοῖς πόνοις
165 ἐνετρύφας τῆς ἐγκρατείας
καὶ νῦν τῆς ἄνω ἔτυχες
εὐωχίας, Ὀνούφριε.

θεοτ. * Ὁ ἐν τῇ μήτρᾳ
τῆς παρθένου οἰκήσας
170 καὶ ταύτην
οὐρανῶν πλατυτέραν δείξας,
εὐλογητὸς εἶ, κύριε,
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

---

153 δι᾽ ἀγγέλων Rc 155 μεγαλύνοντα Cn Σδ 157 διεξόδους Vc 159 ἀσκήσεως] ασκήας ὡς Vc 160 τρέφωντα πάντας Vc 161 ἀβρωσία Vc τῶν λόγων σου Cn 165 ἐτρύφας Oa ἐγκρατείας] καρτερίας Σζ 167 εὐωχίας] κληρουχίας Oa, εὐωδίας Σζ 168-173 θεοτ. MR I, 131 170-171 καὶ usque ad δείξας] καὶ τύπον τῆς πλατυτέραν δείξας Rb 172-173 sermonem varie abrumpunt cdd. 173 ὁ Θεὸς ὁ τῶν... MR

159-160 AA.SS., 530 F: .....διὰ τὸν στηριγμὸν τοῦ σώματός μου καὶ ἡ φοῖνιξ ἐκβάλλει μοι [δώδεκα] σπάθας τοῦ ἔθους.....

156-158 Ps. 1,3; 91,13 166-167 Matth. 22,2-14; Luc. 14,16-24

ᾠδὴ η′. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Γῆν τὴν κάτω περιπολῶν,
f. 14 175 οὐράνιον ἐκ‖τήσω τὴν ζωὴν
καὶ ἀσωμάτων τοῖς χοροῖς
ἡμιλλήθης φορῶν τὴν σάρκα,
Ὀνούφριε μάκαρ,
καὶ τὴν γῆν τῶν πραέων κεκλήρωσαι,
180 ἥνπερ σοι παρέσχε
Χριστὸς εἰς τοὺς αἰῶνας.

Τῶν δακρύων τοὺς σταλαγμοὺς
σβεστήριον ἐκτήσω ἀληθῶς
τῆς τῶν παθῶν πυρκαϊᾶς
185 καὶ ἀγάπης πυρὶ τῷ θείῳ
τῇ δρόσῳ συνήφθης
ἀπαθείας Χριστῷ τῷ θεῷ ἡμῶν,
ὅθεν σε τιμῶμεν,
Ὀνούφριε θεόφρον.

190 Σὺ τῷ θρόνῳ τῷ τοῦ θεοῦ
ἐν δόξῃ νῦν καὶ φόβῳ παρεστὼς
σὺν τοῖς ἀγγέλοις ἀληθῶς,
καὶ ὁσίοις καὶ τοῖς δικαίοις

---

heirm. η′ EE 107, n. 150, Andreae, integrum referunt Σδ Σζ 176 καὶ] σὺν Oa 177 ὡμιλήθης Rb 181 αἰῶνας om. Σδ Rb 183 ἀληθῶς] τὴν ζωὴν Cn 187 τῆς ἀπαθείας Σδ Σζ ἀπαθείας] ἀγαθείας Vc Χριστῷ τῷ θεῷ ἡμῶν om. Oa 190-197 troparium om. Rc Cn Σδ Σζ 190 τῷ θρόνῳ] ὡς θρόνω Vc Rb 193 καὶ usque ad δικαίοις] ὡς φιλάγαθος (φιλάγγελος Rb) ὑμνογράφος Vc Rb

---

176-177 AA.SS., 531 A: ..... ἀναλαμβάνεται αὐτὸν ὁ ἄγγελος εἰς τὸν οὐρανὸν τοῦ θεωρῆσαι τοὺς Ἁγίους καὶ ἀσπάσασθαι αὐτούς, καὶ λαμβάνει ἡ ψυχὴ αὐτοῦ ὡς τὸ φῶς, καὶ χαίρει ἐν τῷ πνεύματι, καὶ σφόδρα εὐφραίνεται, καὶ ἀγαλλιᾶται, τῶν αἰωνίων ἀγαθῶν ἀξιούμενος .....

---

179 Matth. 5,5

ἱκέτευε, πάτερ,
195 ἐκ φθορᾶς καὶ κινδύνων λυτρώσασθαι
τοὺς ἀνευφημοῦντας
τὴν ἄσκησίν σου πίστει.

Τὴν ἀγγέλων διαγωγὴν
ζηλώσαντα ἀπαύστοις προσευχαῖς,
200 χειρὶ ἀγγέλου τῶν αὐτοῦ
μυστηρίων μέτοχον, πάτερ,
Χριστός σε δεικνύει,
ὁ μεγάλης βουλῆς ὄντως ἄγγελος,
ὃν ὑπερυψοῦμεν
205 εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Γῆ ἁγία ἐξ ἧς Χριστὸς
ἐβλάστησεν, ὁ στάχυς τῆς ζωῆς,
καὶ τὴν τακεῖσαν τῷ λιμῷ
ἀνεκτήσατο βροτῶν φύσιν
210 τῆς πάλαι κακίας,
θεομῆτορ, ἐδείχθης, πανάμωμε·
ὅθεν σε ὑμνοῦμεν
πιστοὶ εἰς τοὺς αἰῶνας.

---

197 τὴν] τῆς Vc 198-205 troparium om. Vc Rb 199 ἐζήλωσας Oa 200 ἀγγέλων Oa Cn 201 μυστηρίου Σδ Σζ μετέχων Cn 202 δεικνύει χριστός σε Cn 204-205 varie interrumpunt cdd. orationem 206 δι' ἧς Oa Χριστὸς] θεὸς Rc Rb, χριστὲ Vc 208 τῷ λιμῷ] τῶν βροτῶν Oa, λογισμῶ Rb 209 βροτῶν] κόρη Oa 212 ὃν ὑπερυψοῦμεν Cn, qui cetera om. τιμῶμεν Oa 213 πιστοὶ εἰς] εἰς πάντας Oa Rb Σζ τοὺς αἰῶνας om. Rb Σζ αἰῶνας om. Σδ

200-201 AA.SS., 531A: ..... Ἄγγελος Κυρίου γίνεται ἀγαθὸς πρός με, καὶ τὴν ἄχραντον κοινωνίαν διακονεῖ μοι .....

---

207 ss. Cfr. Joh. 6,35 ss.

ᾠδὴ θ'. Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατὸς

Νεύσεσιν ἀνενδότοις
215 πρὸς τὸ θεῖον, πάτερ σοφέ,
θεούμενος μεθέξει τῇ αὐτοῦ,
ἐχρημάτισας θεῷ
καὶ σὺν ἀγγέλοις λειτουργοῖς
τοῦτον δοξάζεις ἀεί.

220 Πηγὴ θαυμάτων ὤφθη
ἡ σορός σου, ἅγιε,
καὶ ὄμβρους ἰαμάτων προφανῶς
ἀναβλύζει καὶ πιστοὺς
νῦν καταρδεύει εὐσεβῶς
225 εἰς δόξαν ὄντως θεοῦ.

Ἐνέκρωσας τὴν σάρκα,
κατεπάλαισας τὸν ἐχθρόν,
μετέστης πρὸς ἀνέσπερον αὐγήν,
αἰωνίων ἀγαθῶν
230 συγκληρονόμος γεγονώς,
πάτερ Ὀνούφριε.

Τοὺς πόθῳ ἐκτελοῦντας
τὴν ἁγίαν σου ἑορτὴν
ἐκ πάσης τρικυμίας τῶν παθῶν
235 ταῖς πρεσβείαις σου ἀεί,
ὡς παρρησίαν εὑρηκώς,
σῶζε, Ὀνούφριε.

---

heirm. θ' EE 106, n. 149, Andreae, integrum refertur in Σδ Σζ 214-215 Νεύσεσι πρὸς τὸ θεῖον / ἀνενδότοις πάτερ σοφὲ Rb 216 θεώμενος Σζ τῇ] τὴν Vc 217 θεῷ scripsi] θεὸς cdd. 218 λειτουργεῖς Σζ λειτουργῶν Rb 219 ἀεὶ om. Σδ 220-225 troparium om. Cn Vc Σδ Rb Σζ 222-224 ὀμβρίζουσα ἰάματα πιστοῖς / καὶ δροσίζουσα φαιδρῶς / τοὺς προσιόντας ἀσθενεῖς Rc 227 κατεπάτησας Rb 228 αὐγὴν] ζωὴν Σδ 237 σῶζε] πάτερ Cn

θεοτ. Ὑμνοῦμέν σου τὸν τόκον
καὶ δοξάζομεν τὸν ἐκ σοῦ
240 τεχθέντα ὡς θεόν τε καὶ βροτόν,
μητροπάρθενε ἁγνή,
ὃν ἐκδυσώπει ἐκτενῶς
τοῦ ἐλεῆσαι ἡμᾶς.

238-243 θεοτ. substituunt Cn Σδ Σζ
θεοτ. in Cn Σζ:
Ἐλπίδα σε καὶ τεῖχος
κεκτημένοι, ἄχραντε,
240 ἐλπίζομεν τυχεῖν τῶν ἀγαθῶν
ταῖς πρεσβείαις σου ἀεί (ἁγνή Σζ),
ὧν (ὃν Cn) ἐπηγγείλατο Χριστός,
ὁ δι' ἡμᾶς σαρκωθεὶς (ὁ σαρκωθεὶς δι' ἡμᾶς Σζ).
θεοτ. in Σδ:
Ἐν πόκῳ τῆς γαστρός σου
ὁ οὐράνιος ὑετὸς
240 κατέβη (Ps. 71,6) καὶ ἐξήρανεν ἡμῶν
τῶν πταισμάτων τὰς πηγάς,
ἀθανασίας ποταμοὺς
ἡμῖν ἐκβλύσας, ἁγνή.
242-243 ὃν ἐκτενῶς ὑπὲρ ἡμῶν / ἀεὶ ἱκέτευε Oa 243 σωθῆναι πάντας ἡμᾶς Rb

IN SANCTUM METHODIUM CONFESSOREM CONSTANTINOPOLITANUM PATRIARCHAM

Synaxarium 749-750: ..... μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μεθοδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὁ ἅγιος τὴν πλάνην τῆς αἱρέσεως τῶν εἰκονομάχων σοφαῖς ἀποδείξεσι καὶ γραφικαῖς ῥήσεσι παντοίως ἀνατρέψας καὶ καθελών, καὶ τὴν ὀρθόδοξον πίστιν ταῖς τοῦ Θεοῦ ἐκκλησίαις βραβεύσας καὶ πολλὰς κακώσεις ὑπὸ τῶν αἱρετικῶν ἐν τῷ προσκυνεῖν τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ὑπομείνας ἀνεπαύσατο, αἰω- νίως λύτρωσιν τῶν ἀνιαρῶν ἡμῖν ἐξαιτούμενος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ, ἐν ᾧ τὸ τίμιον αὐτοῦ κατάκειται λείψανον, τῷ ὄντι ἔνδον τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων τῶν μεγάλων.

Sinait. gr. 620 = Σγ, ff. 76-79
Crypt. Δ.δ. II = De, ff. 71-72v
Paris. gr. 1566 = Pw, ff. 132v-136v
Sinait. gr. 640 = Ση, ff. 258-261

Ὁ κανών, Φωτίου πατριάρχου, φέρων ἀκροστιχίδα τήνδε·
f. 76v || Μεθοδίῳ Φώτιος ὕμνον προσφέρω.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Μαρμαρυγὰς ἀπαστράπτων
τῶν ἀρετῶν,
ὡς νυμφίος πρόεισιν
ἐκ παστάδος τῆς σαρκὸς

tit. (f. 76) Τῇ αὐτῇ ἡμέρα κανὼν τοῦ ἁγίου μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως φέρων ..... (f. 76) et in margine (f. 76v) sigla πατριάρχης φώτιος Σγ   ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε ..... De   ἕτερος κανὼν Pw, qui achrostichidem om. et duos canones alternatis odis praebet: priorem in S. Elisaeum, inc. Χαίροις, ὦ Ἐλισσαῖε MR V, 287, alterum quem huc referimus   ἕτερος κανὼν τοῦ ὁσίου οὗ ἡ ἀκροστιχὶς .... Ση, ubi canon alternatis odis ut in Pw apparet
heirm. α' EE 159, n. 224, Joannis   1 Μαρμαρυγαῖς Ση

3-5 Ps. 18,6

5 εἰς νυμφῶνα ἅγιον φωτὸς
ὁ γενναῖος ἀθλητὴς
Χριστοῦ Μεθόδιος.

Ἐν διεξόδοις ὑδάτων
πνευματικῶν
10 φυτευθείς, ἐβλάστησας
τῶν δογμάτων τὸ στερρόν,
εὐανθοῦν τοῖς πέρασι τερπνὸν
εὐσεβείας γλυκασμόν,
σοφὲ Μεθόδιε.

15 Θυσιαστήριον θεῖον
τὴν σεαυτοῦ
ψυχὴν ἐργασάμενος,
πάτερ, θύματα δεκτὰ
ἀρετὰς προσέφερες Χριστῷ,
20 τῶν μωλώπων τῷ πυρὶ
ὁλοκαυτούμενος.

θεοτ. * Μεταλαβοῦσα ἡ Εὔα
τῆς τοῦ φυτοῦ
παρηκόου βρώσεως,
25 ἐπεισάγει τὴν ἀράν·
ἀλλ' αὐτὴν διέλυσας, ἁγνή,
εὐλογίας ἀπαρχὴν
Χριστὸν κυήσασα.

5 φωτὸς] θεοῦ Ση   6-7 ὁ usque ad Μεθόδιος] σὺν ἀγγέλοις δαψιλῶς νῦν εὐφραινόμενος Ση   12 εὐανθοῦντος Pw εὐανθὲς Ση   20 τῶν μωλώπων] τῶν μελλόντων Ση   21 ὁλοκαυτούμενα Pw   22-28 θεοτ. PaR 458, pro quo alterum Ἡ μαργαρίτην τῆς θείας PaR 458 substituit Ση

20-21 AA.SS. Iun. II (1698), 963 A (= PG 100, 1248 C): Ὁ δὲ (Michael II imperator)..... αὐτὸν δὲ τὰ τῆς ὀρθοδόξου πίστεως τρανῶς καὶ παῤῥησιασμένως διαγγέλλοντα, ὡς ταραχῆς φησιν αἴτιον καὶ σκανδάλων, περὶ τὰς ἑπτακοσίας ἀνήρτησε μάστιγας.....; AA.SS., 964 C (= PG 100, 1252B): Καὶ ὅς γε (Theophilus imperator), τοῦ ἐλέγχου ὕβριν οὐκ ἐνεγκών, εἰς θυμὸν τὴν παραίνεσιν μετεποίησεν, καὶ τοῖς ἱμᾶσι ταθῆναι κελεύσας, γυμνοῖς τοῖς νώτοις αὐτοῦ καὶ τοῖς στέρνοις ὑπὲρ τὰς ἑξακοσίας κατέφερε μάστιγας .....

8-10 Ps. 1,3   22-25 Gen. 3,6-19

ᾠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ,
κύριε ὁ θεός μου,

Ὁ λόγος ἄφθονος, σοφέ,
30 ἄληπτος δὲ ὁ βίος,
ὁ ἱδρὼς δέ, τρισμάκαρ,
τῶν ἀγώνων σου σεπτὸν
ἀρχιερέα θεοῦ
ἔχρισέ σε,
35 κόσμον ἁγιάζοντα.

Δογμάτων ἔβλυσε πηγὰς
ἡ πολύφθογγος γλῶσσα,
εὐφροσύνης πληροῦσα
τὰς καρδίας τῶν πιστῶν,
40 τοῦ ἱεράρχου Χριστοῦ,
ἀσεβούντων
τὴν ὀφρῦν βυθίζουσα.

Ἰδοὺ τὰ τέκνα σου πολλὰ
τάφον περικυκλοῦντα·
45 ὥσπερ ἄνθη ποικίλα
τὰ διδάγματα τὰ σὰ
ὀσφραίνονται μυστικῶς
εὐωδίαν,
f. 77 πάτερ, ἀποστά‖ζοντα.

---

heirm. γ' EE 159, n. 224, Joannis, integrum post odem refert Ση
29 ἄφθορος Ση σοφὲ om. Ση 32 σεπτὸς Ση 43 πολλὰ] τὸν σὸν De
44 τάφω Ση v. 45 om. Σγ 47 ὀσφραίνοντα Σγ

29-35 AA.SS., 965 B (= PG 100, 1253 A-B): ..... ἐζητεῖτο λοιπὸν ὁ ἄξιος τῷ θρόνῳ ἐπιστηριχθῆναι μέλλων, πράξει καὶ θεωρίᾳ ἀνθρωπίνων κεκοσμημένος, καὶ πολυπειρίᾳ τῶν θείων καὶ γεγυμνασμένος, δυνατὸς λόγῳ καὶ ἔργῳ κατὰ τὴν θείαν Γραφήν. Πολλῶν τοίνυν μεγάλων καὶ ἁγίων ἀνδρῶν προβεβλημένων, μόνος προκρίνεται καὶ καθίσταται ὁ ἀθλοφόρος Μεθόδιος, ἀσκήσει πάντας ὑπερβάλλων καὶ Γραφῶν ἐμπειρίᾳ καὶ προφορᾶς εὐγλωττίᾳ καὶ ἄθλων ὑπομονῇ καὶ φρονήματος μετριότητι καὶ συναναστροφῇ καὶ συνουσίᾳ χαριεστάτῃ.

θεοτ. 50 * Θεὸν σαρκούμενον ἐκ σοῦ
καθορῶντες, παρθένε,
ἐξεπλήττοντο φόβῳ
τῶν ἀγγέλων οἱ χοροὶ
καὶ ὡς μητέρα θεοῦ
55 ἀσιγήτοις
ὕμνοις σε ἐδόξαζον.

50-56 θεοτ. PaR 459, pro quo substituit Ση alterum Τοῦ θείου τόκου σου, ἁγνή, MR III, 657 56 ἐδόξαζον] γεραίρουσιν PaR De, δοξάζουσιν Pw

post odem γ' refert Pw κάθ. in S. Elisaeum Προβλέψει θεϊκῇ MR V, 289 et ἄλλο κάθ. ineditum in S. Methodium, quod De ante canonem (f. 70v) praebet:

Κάθισμα. Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Σοφισθεὶς ἐν παιδείᾳ τῇ θεϊκῇ
καὶ πλουτίσας τὴν γνῶσιν ἐν ἀρεταῖς,
τὴν θείαν καὶ ἄρρητον
θεωρίαν μεμύησαι
5 καὶ ἐμβατεύσας ἔνδον
τοῦ γνόφου τοῦ γράμματος,
μυστικῶς ἐπλουτίσθης
τὴν χάριν τοῦ πνεύματος·
ὅθεν καὶ πλουτίσας (vv. 8-9 om. Pw)
10 τὴν Χριστοῦ ἐκκλησίαν
ἐνθέων παιδεύσεων,
ταύτην ἔργοις σου ἔστεψας,
ἱεράρχα Μεθόδιε,
πρέσβευε Χριστῷ (hic abrumpitur κάθ. in De) τῷ θεῷ
15 τῶν πταισμάτων ἄφεσιν ⟨δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩ (post ἄφεσιν cetera om. Pw).

post κάθ. in S. Elisaeum, de quo antea dixi, Ση add. ἕτερον τοῦ ἱεράρχου:

Κάθισμα. Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Φαεινὸς ὡς ἥλιος
ἐκλάμψας, πάτερ,
διδαχαῖς σου ἅπασαν
τὴν οἰκουμένην ἱεραῖς
5 καταφωτίζεις, Μεθόδιε,
καὶ ἐκδιώκεις ἀχλὺν τῆς αἱρέσεως.

deinde θεοτ. ὅμοιον: Προστασία ἄμαχε MR III, 430 et σταυροθεοτ. ineditum refert Ση:

Προστασία⟨ν⟩ ἄμαχον
ὡς κεκτημένοι
τὸν σταυρόν σου, δέσποτα,
οἱ σεσωσμένοι δι' αὐτοῦ
5 ἀπὸ ψυχῆς σοι κραυγάζομεν·
διὰ τῆς τεκούσης σε πάντας φύλαττε.

ᾠδὴ δʹ. *Χριστός μου δύναμις*

Ὡραῖον μώλωψιν,
φαιδρὸν τοῖς δόγμασιν,
ἐξαστράπτοντα θείαις
60 τῶν ἀρετῶν
λαμπηδόσι βλέπουσα,
νυμφαγωγόν σε ἡ Χριστοῦ
ἐκκλησία ἐξελέξατο.

Φωτὸς πεπλήρωται
65 ἡ σή, τρισμάκαρ, ψυχὴ
ἀκηράτου καὶ κόσμῳ
ταῖς ἀρεταῖς
λύχνος ἐχρημάτισεν,
τὰ διαβήματα ἡμῶν
70 εἰς ὁδὸν εὐθεῖαν ἄγουσα.

Ὡς κλῆμα εὔφορον
καρπὸν ἐβλάστησας
τὸν τῆς γνώσεως βότρυν,
ἐξ οὗ φαγὼν
75 τῶν αἱρετιζόντων χορὸς
τὰς μύλας θλάττεται, σοφέ,
τῶν πιστῶν δὲ ἁγιάζεται.

---

heirm. δʹ EE 159, n. 224, Joannis vv. 57-63 tertii troparii locum occupant in Ση, qui autem hoc ordine strophas disponit: 71-77, 64-70, 57-63 65 παμμάκαρ Ση 66 καὶ κόσμῳ] καὶ νίμου Ση κόσμου De 73 γνώσεως] βρώσεως Ση 75 ὁ χορὸς Ση 77 ἁγιάζεται] ἀναπλάττεται Ση

57-63 G. CEDREN. (ed. Bonn) II, 143: .....ἡ δέσποινα (Theodora imperatrix) ἀντεισήγαγε τὸν ἱερὸν καὶ θεῖον Μεθόδιον, ἔτι τῆς ὁμολογίας καὶ τῆς μαρτυρίας ἐν τῇ σαρκὶ τὰ στίγματα περιφέροντα, ἁπάντων τῶν εὐσεβῶν ἱερέων, λαϊκῶν τε καὶ μοναχῶν, ἀλλὰ καὶ τῶν ἐν τοῖς ὄρεσιν ἀσκουμένων μετὰ πολλῆς τῆς περιχαρείας ἀποδεξαμένων τὴν προβολήν, καὶ ἀθρόον τὴν βασιλίδα καταλαβόντων καὶ ὁμοφώνως αἰωνίῳ ἀναθέματι παραδεδωκότων τὴν αἵρεσιν τῶν εἰκονομάχων.

---

62 Cfr. Joh. 3,29 71-73 Joh. 15,2 76 Ps. 57,7

θεοτ. * Ὡς ὄντως ἄφθεγκτα
καὶ ἀκατάληπτα
80 τὰ τῆς σῆς, θεοτόκε,
θεοπρεποῦς
πέφυκε κυήσεως
τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ,
ἀειπάρθενε, μυστήρια.

ᾠδὴ εʹ. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

85 Τῷ θείῳ φέγγει σου, ἀγαθέ,
τὴν ἀμαυρωθεῖσάν μου ψυχὴν
τοῖς ζοφεροῖς ἁμαρτήμασι
ταῖς πρεσβείαις, σῶτερ,
τοῦ ἱεράρχου σου
90 καταύγασον καὶ σῶσον,
ὡς παντοδύναμος.

Ἰδοὺ πανήγυρις τηλαυγής·
τοῦ ἀρχιερέως τοῦ θεοῦ
ἡ μνήμη σήμερον πρόκειται·
f. 77ᵛ 95 ‖ δεῦτε μετὰ πόθου
πάντες ἀρύσασθε
τοῦ πνεύματος τὴν χάριν,
ὕμνους προσάγοντες.

Ὁ τάφος ἤνοιξεν οὐρανούς,
100 ὃν ὑπὲρ Χριστοῦ ὑπεραθλῶν

78-84 θεοτ. PaR 460 78 ἄφλεκτα Σγ 81 θεοπρεπῶς De Ση 83 τοῖς] τῆς Ση 84 μυστήρια] κυήσασα Ση
heirm. εʹ EE 159, n. 224, Joannis 89 σου om. Ση 94 ἡ μνήμη] νῦν ἡμῖν Ση 96 πάντες πιστοὶ ὠνήσασθαι Ση 98 ὕμνοις Pw in vv. 100-101 varias lectiones referunt cdd.: ὃν ὑπὲρ χριστοῦ ἤνεγκας / χαίρων μεθόδιε πάνσοφε Σγ ὃν ὑπὲρ χριστοῦ κατακριθεὶς (κατακριθεὶς erasum) / χέρων μεθόδιε et ante χέρων in margine add. ᾤκησας De (cfr. v. 124) ὃν τοῦ ἰησοῦ ὑπεραθλῶν / ἤνεγκας χαίρων μεθόδιε Pw ὃν ὑπὲρ χριστοῦ τοῦ λυτρωτοῦ / ἤνεγκας χαίρων μεθόδιε Ση

99-105 AA.SS., 963 A (= PG 100, 1248 C): ..... ἔπειτα δὲ (Michael imperator) ἔν τινι τάφῳ εἰς τὸ τοῦ Ἀποστόλου Ἀνδρέου νησίον (Methodium) κατέκλεισεν ..... J. GOUILLARD, *Une œuvre inédite du patriarche Méthode*, BZ 53 (1960) 44: ἤδη πρὸς εἱρκταῖς ἐκ μακροῦ σιδηροφόρον τὸν εἰρημένον κρατούμενον

ἤνεγκας χαίρων, Μεθόδιε·
τὰ ἐν τοῖς ὡραίοις
ποσὶ δὲ σίδηρα
παραδείσου τὰς πύλας
105 σοὶ προηυτρέπισαν.

θεοτ. * Τοὺς θεοτόκον σε ἐκ ψυχῆς,
δέσποινα τοῦ κόσμου ἀγαθή,
ὁμολογοῦντας διάσωσον·
σὲ γὰρ προστασίαν
110 ἀκαταμάχητον
κεκτήμεθα, τὴν ὄντως
θεογεννήτριαν.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Σοφίας καὶ χάριτος
ἐξεχύθη γλυκασμὸς
115 ἐν τοῖς σοῖς, μάκαρ, χείλεσι
καὶ ὡς μέλι κηρίων οἱ εὐπρεπεῖς
προέρχονται λόγοι σου,
τῶν πιστῶν τὰς καρδίας
ἱλαρύνοντες.

---

v. 103 πάτερ ποσὶ σιδηρὰ Ση 105 προηὐτρέπεισε Ση 106-112 θεοτ. PaR 461
odae ϛ'-θ' (vv. 113-252), nonnullis amissis foliis, in De desiderantur
heirm. ϛ' EE 159, n. 224, Joannis 113 Σοφία Ση 116 μέλι κηρίου Pw μελλϊκηρίον Ση

ἐτασμὸς καὶ πληγαὶ πάμπολλαι καὶ διάφοροι καὶ τέλος ζωταφία ἐν ᾗ καί ἐστιν προσείληφεν...

102-105 Const. Manass. (ed. Bonn), 210, vv. 4920 ss.:

4920 ὁ δὲ καλὸς ἀγωνιστὴς Μεθόδιος ὁ πάνυ
ἐγκαρτερήσας τῇ πικρᾷ καὶ κακοφρούρῳ στέγῃ,
καὶ τοὺς ὀδόντας ἐκκρουσθεὶς καὶ συνθλασθεὶς τὰς γνάθους,
καὶ πᾶσαν ἄλλων ἐνεγκὼν κολάσεων ἰδέαν,
δι' ὧν αὐτὸν οἱ δυσσεβεῖς ἔπληττον ἀπανθρώπως
4925 ὡς ἄκμονα σιδήρεον χαλκεῖς σφυροκτυποῦντες.

120 Ὑπήνεγκας κίνδυνον
ὡς ἀνάπαυσιν, σοφέ,
ὡς δὲ τερπνὸν παράδεισον
ἐξορίας ὑπέστης, ὡς δὲ φαιδρὸν
παλάτιον ᾤκησας
125 τὸν ἐπώδυνον τάφον,
ἱεράρχα σοφέ.

Μορφώσας τὴν πάνσεπτον
ἐκκλησίαν τοῦ Χριστοῦ
τοῖς τῶν δογμάτων χρώμασιν
130 ἐξαστράπτουσαν κάλλει ὡς ἀληθῶς,
ἀκήρατον ἔδειξας
τὴν ἀρχαίαν εἰκόνων
ἀναστήλωσιν.

Νοὸς καθαρότητι
135 εἰς τὰ βάθη τῆς γραφῆς
ἐγκύψας, πάτερ, εἴληφας
μαργαρίτην πολύτιμον τὸν Χριστόν,
δι' οὗ κατεπλούτισας
πᾶσαν τὴν οἰκουμένην
f. 78 140 τὴν || εὐσέβειαν.

---

126 σοφέ] χριστοῦ Ση 128 τοῦ θεοῦ Ση 132 τὴν ἀρχαίαν] τῶν ἀρχέων Ση 134-140 troparium om. Ση

123-125 Cfr. notationem ad vv. 99-105.

127-133 Quae sequuntur duo troparia odes ζ' canonis epinicii, Theodoro Studitae tributi, sunt Methodio restituenda, PG 99,1776:

Πεποίκιλται περιβέβληται, κεκαλλώπισται ἡ Ἐκκλησία· μόρφωσιν τοῦ Δεσπότου τῶν ὅλων τῆς σαρκώσεως, καὶ τῶν παθημάτων αὐτοῦ καὶ τὰ σύμβολα φέρουσα, εἰς τὸ τέλος κατὰ τοὺς θείους θεσμούς.

Ἑόρταζε, πανηγύριζε, ὁ χριστώνυμος λαὸς Κυρίου, βλέπων τὴν Ἐκκλησίαν καὶ πάλιν διαλάμπουσαν, τὸ κάλλος τῆς θείας μορφῆς· ἥν, Θεὸς ὤν, ἐφόρεσεν ὡς ἄνθρωπος διὰ τὸ σῶσαι ἡμᾶς.

---

137 Matth. 13,46

θεοτ. * Ἡ πάναγνος δέσποινα,
ἡ τεκοῦσα τοῖς βροτοῖς
τὸν κυβερνήτην κύριον,
τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινὸν
145 κατεύνασον τάραχον
καὶ γαλήνην παράσχου
τῇ καρδίᾳ μου.

ᾠδὴ ζʹ. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ὀξυγράφος μὲν ἡ γλῶσσά σου, θεόσοφε,
κάλαμος ἐχρημάτισεν,
150 ὁ δὲ νοῦς ὁ σὸς
νοημάτων θείων θησαυρός,
εἰς ὅνπερ ἐμβάπτουσα, Χριστοῦ
τὸν χαρακτῆρα ἐμφανῶς
ἐστηλογράφησεν.

155 Νοητὸν ἡμῖν παράδεισον ἀνέδειξε
κύριος τὸ σὸν στόμα, σοφέ,
προβαλλόμενον
τὸν καρπὸν τῆς γνώσεως ἀεί,
ἐξ οὗπερ γευόμενοι πιστῶς,
160 αἱρετιζόντων τὸν ἰὸν
ἀποκρουόμεθα.

Περιβέβλησαι χρηστότητος εὐπρέπειαν,
μάκαρ, ἀποδυσάμενος
ἣν ἐξύφανε

141-147 θεοτ. PaR 462 145 καταύνασον Σγ
heirm. ζʹ EE 159, n. 224, Joannis 148 Ὀξυγράφου Ση 151 θεῖος Ση 152 ἐμβάπτεις τοῦ χριστοῦ Ση 156 κύριος om. Ση σοφὲ] θεόσοφε Ση 159 πιστοὶ Ση

148-149 Ps. 44,2 155-158 Cfr. Gen. 2,8-3,2

165 συμβουλὴ τοῦ ὄφεως στολήν·
γυμνῷ δὲ προσώπῳ καθορᾷς
νῦν κατὰ Παῦλον ἐμφανῶς
θεοῦ τὸ πρόσωπον.

⟨τριαδ.⟩ * Τὴν βασιλίδα καὶ πάντων κυριεύουσαν
170 φύσιν τὴν τρισυπόστατον,
ἀγαθότητος
καὶ ἀΰλου πέλαγος φωτὸς
ὑμνοῦντες βοήσωμεν πιστῶς·
« εὐλογητὸς εἶ, ὁ θεὸς
175 ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ ηʹ. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ῥυπτικὴν λαμπηδόνα
παθῶν κτησάμενος
δι' ἀσκήσεως, πάτερ,
ἤστραψας κόσμῳ παντὶ
180 τύπους ἀψευδεῖς
f. 78v ἀρετῶν, διαγ‖γέλλοντας
τὸν τοῦ παραδείσου
ἀέναον χειμάρρουν.

Ὁ τῶν ἄθλων σου βότρυς
185 ἤδη ἐξήνθησε
καὶ καρποὺς τῶν χειλέων
νῦν σοι προβάλλεται·
δίδου καὶ ἡμῖν

---

167 ἐμφανῶς] ἐν χαρᾷ Ση 168 χριστοῦ Ση 169-175 ut θεοτ. referunt Σγ Pw τριαδ. ed. in Pent σιθʹ, pro quo Ση praebet θεοτ. Διὰ σοῦ, μήτηρ παρθένε, φῶς ἀνέσπερον (ἀνέτειλε) PaR 463 172 ἀΰλου] ἀπείρου Pent 173 πιστοὶ Pent
heirm. ηʹ EE 159, n. 224, Joannis 181 ἀρετῇ Ση 184 ἄθλων] πόνων Ση 185 ἤδη] ἀεὶ Ση 186 καρπὸν Ση

---

165 Cfr. Gen 3,1-5 166-168 II Cor. 3,18 184-185 Cfr. Joh. 15,2 186 Prov. 18,20; Os. 14,3; Hebr. 13,15

μετασχεῖν τῆς γλυκύτητος,
190 ἧσπερ σὺ μετέσχες,
εὐχαῖς σου τοῖς σοῖς τέκνοις.

Στρατιαὶ οὐρανίων
νῦν ἐπαγάλλονται,
δεδεγμέναι προσθήκην
195 τὴν σήν, παμμάκαρ, ψυχήν,
δόξῃ καὶ τιμῇ
στεφομένην θεοῦ δεξιᾷ,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

⟨τριαδ.⟩ 200 Μίαν φύσιν τριάδος
ἀπειροδύναμον,
ὑπερβαίνουσαν χρόνου
παντὸς καὶ φύσεως
ἔννοιαν ἀεὶ
205 ὀρθοδόξως κηρύττομεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ′. *Θεὸν*
ἀνθρώποις ἰδεῖν ἀδύνατον

Φωνὴ
κυρίου σὺ ἐχρηματίσας,
210 φλόγα πυρὸς
ἀπίστων γλωσσαλγίαν συγκόπτουσα
καὶ βροντῶσα, πάνσεπτε, τοῖς πέρασιν
ἦχον θεογνωσίας,
ᾧ φωτιζόμενοι,

---

191 εὐχαῖς usque ad τέκνοις] μεθόδιε τρισμάκαρ Ση 198-199 ὅθεν σου τὴν μνήμην γεραίρομεν ἐν ὕμνοις Ση 199 v. om. Σγ Pw 200-207 θεοτ. loco Σγ Pw (cfr. notas ad vv. 169-175) hoc utuntur τριαδ., pro quo refert Ση θεοτ. Ἐκ φωτὸς φωτοδότην PaR 464 v. 207 om. Σγ Pw

heirm. θ′ EE 159, n. 224, Joannis 211 γλωσσαλγίας ἐκτέμνουσα Ση συγκόπτουσαν Pw 212 βροντῶσαν πάναγνε Ση

215 νῦν ἐπαγαλλόμεθα Χριστῷ,
σὲ μεγαλύνοντες.

Εὑρὼν
ἀνάπαυσιν τῶν ἀγώνων σου,
πατριαρχῶν
220 χορείαις συναυλίζῃ, Μεθόδιε,
καὶ μαρτύρων στέφει συστεφόμενος,
κάλλει συνεξαστράπτεις
τῷ τῆς ἁγνείας σου,
μάκαρ, ἀσκητῶν ὡς ἀκριβὴς
225 κανὼν γενόμενος.

Ῥωσθεὶς
δυνάμει θεοῦ, μακάριε,
προφητικῶς
τὰς μύλας τῶν λεόντων συνέθλασας·
230 παρρησίαν ἔχων δὲ καὶ νῦν πρὸς θεόν,
πάσης τῆς ἐκκλησίας
f. 79 τούτους ἀπέ‖λασον,
ταύτην περιέπων ὡς τὸ πρίν,
σοφὲ Μεθόδιε.

235 Ὡς φῶς
συνήφθης φωτί, θεόσοφε,
ἀπὸ τῆς γῆς
χωρήσας εἰς οὐράνιον οἴκησιν·
ἀλλ᾽ εὐχαῖς σου πάντας τοὺς ὑμνοῦντάς σε
240 φώτισον, ἐπανάγων
ἀπὸ τοῦ ζόφου τῶν παθῶν
εἰς ὅρος τῶν θείων ἀρετῶν,
σοφὲ Μεθόδιε.

---

216 σὲ μακαρίζοντες Ση 220 χορείαις] χωρίας Ση 221 στέφη Ση 223 τῷ] τὸ Pw 224 μάκαρ] πάτερ Ση 229 λεόντων] λαλούντων Ση 230 πρὸς τὸν θεὸν Ση 233 ταύτης Ση 235-243 troparium om. Pw 238 χωρίσας Ση 242 τῶν θείων] θεῖον Σγ

---

229 Ps. 57,7

θεοτ. * Ἀστὴρ
245 ἐκλάμπων αὐγαῖς θεότητος
ἐξ Ἰακὼβ
τοῖς ζόφῳ κρατουμένοις ἀνέτειλε
διὰ σοῦ νῦν, πάναγνε, Χριστὸς ὁ θεός,
λόγος σεσαρκωμένος,
250 ᾧ φωτιζόμενοι,
σὺν ταῖς οὐρανίαις στρατιαῖς
σὲ μεγαλύνομεν.

244-252 θεοτ. PaR 466, usque ad θεότητος (v. 245) refert Ση 252 σὲ μακαρίζομεν PaR

244-246 Num. 24,17

IN SANCTUM ELISAEUM PROPHETAM

Synaxarium 747-749: Μνήμη ἤτοι κοίμησις τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἐλισσαίου. Οὗτος ἦν υἱὸς Σαφὰτ ἐξ Ἀβελμαοὺλ ἐκ γῆς τοῦ Ῥουβίμ. Καὶ ἐπὶ τούτῳ γέγονε τέρας, ὅτι ἡνίκα ἐτέχθη ἐν Γαλγάλοις ἡ δάμαλις ἡ χρυσῆ, ἡ ἐν Σιλὼμ ὀξὺ ἐβόησε, ὥστε ἀκουσθῆναι ἐν Ἱερουσαλήμ. Εἶπε δὲ ὁ ἱερεὺς διὰ τῶν δήλων ὅτι προφήτης ἐτέχθη ἐν Ἱερουσαλὴμ σήμερον, ὃς καθελεῖ τὰ γλυπτὰ ἢ συντρίψει τὰ χωνευτά· πολλὰ δὲ τεράστια ἐποίησεν ὁ Θεὸς δι' Ἐλισσαίου τοῦ προφήτου. Θανὼν δὲ ἐτάφη ἐν Σαμαρείᾳ ἐν Σεβαστουπόλει. Οὗτος προεφήτευσε περὶ τῆς τοῦ Κυρίου παρουσίας καὶ τὰ ὕδατα Ἱεριχὼ ἀτεκνοῦντα καὶ ἁλμυρὰ ὄντα ἰάσατο· « Τάδε λέγει Κύριος, εἰπών, ἴαμαι τὰ ὕδατα ταῦτα », καὶ ἰάθησαν. Ἀλλὰ καὶ νεκροὺς ἤγειρεν καὶ λεπρὸν ὄντα Νεεμᾶν τὸν Σύρον ἐκαθάρισε τῆς λέπρας, καὶ Γιεζῆ τὸν αὐτοῦ ὑπηρέτην λεπρὸν ἐποίησε γενέσθαι διὰ τὴν φιλαργυρίαν αὐτοῦ καὶ τὴν παρακοήν. Καὶ νεκρὸς ὢν νεκρὸν ἤγειρε, καὶ τὰ Ἰορδάνεια ῥεῖθρα τῇ τοῦ Ἠλιοῦ μηλωτῇ πατάξας διέρρηξε· καὶ περὶ τῆς τοῦ Κυρίου παρουσίας προεφήτευσε.........

Sinait. gr. 620	= Σγ,	ff. 73-75
Crypt. Δ.α. XXIII	= Cn,	ff. 32-33
Hierosol. Sab. 70	= J,	ff. 53v-54v
Sinait. gr. 637	= Σε,	ff. 79v-82
Matrit. gr. 4694	= A,	ff. 30v-32v
Paris. gr. 1575	= Pv,	ff. 117v-118

Ὁ κανών, Ἰωάννου μοναχοῦ, φέρων ἀκροστιχίδα τήνδε·
Ἄδω γεγηθὼς τὴν Ἐλισσαίου χάριν.

Ἦχος πλ. α'.

ᾠδὴ α'. *Τῷ σωτῆρι θεῷ,*
τῷ ἐν θαλάσσῃ λαὸν

* Ἀπαρχὴ ἐν θεῷ
τῶν ἐφυμνίων ᾠδῶν,

---

tit. ὁ κανὼν τοῦ προφήτου Σγ, qui acrostichidem et nomen auctoris om. ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε..... Cn A τήνδε om. Σε ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς..... J Pv κανὼν φέρων ἀκροστιχίδα..... Σε sigla Ἰωάννου Cn et Ἰωάννου μοναχοῦ J Σε in margine praebent nomen auctoris om. A Pv

heirm. α' EE 132, n. 183, Joannis, integrum refert A 1-8 troparium ed. in NS 26 (1931), 678 1 Ἀπαρχὴ τῷ θεῷ Cn NS Ἀπαρχὴν ἔνθεον Σε 2 τῷ Σε

δι' ὧν κροτεῖται
ὁ ὑμνούμενος,
5 προφητικοῖς ἐξαστράπτων
τοῖς αὐχήμασιν,
ὑμνῶν τὸν δοξάσαντα,
ὅτι δεδόξασται.

Δεδεγμένος δορὰν
10 προφητικῆς ἐκ χειρός,
συναπεδέξω
τὸ ἀξίωμα,
ἐξ ἀροτῆρος προφήτης
μεταποιούμενος
15 τῇ αἴγλῃ τοῦ πνεύματος,
ὅτι δεδόξασται.

Ὡς προέγνως, Χριστέ,
τὴν πρὸς τὸ κρεῖττον ῥοπὴν
τῆς Ἐλισσαίου
20 διαθέσεως,
ἐπαισθηθεὶς ἀδιστάκτως
ἧς προώρισας
ἐνδόξου σου κλήσεως
ἐπηκολούθησεν.

θεοτ. 25 * Ἄχραντε μήτηρ θεοῦ,
τὸν σαρκωθέντα ἐκ σοῦ
καὶ ἐκ τῶν κόλπων
τοῦ γεννήτορος
μὴ ἐκφοιτήσαντα θεόν,
30 ἀπαύστως πρέσβευε
ἐκ πάσης περιστάσεως
f. 73v σῶσαι ‖ οὓς ἔπλασεν.

3 κρατεῖται Pv 7 ὑμνῶ J Σε A Pv ὕμνον τῶ δοξάσαντι Cn 8 v. om. NS 10 προφητικῆ A 11 συνεπεδέξω A 16 ὅτι δεδόξασται] καταστραπτόμενος Cn δεδόξασται om. Σε 18 τῆς προς τον κρεῖττον ροπῆς Σε 21 ἐπαἰθηθεῖς, postea ἐνεθηθεῖς Σγ ἐπαισθητῆς J Pv 23-24 σωτὴρ παντοδύναμε / ὅτι δεδόξασται J A Pv 23 σου] τε Cn σου om. Σε 24 ἐπηκολούθησας Σε 25-32 θεοτ. MR IV, 25 om. Cn J Σε 31 ἐκ om. MR

9-15 III Regn. 19,19-20 17-24 ibid. 19,16 ss.

ᾠδὴ γ'. *Δυνάμει τοῦ σταυροῦ σου, Χριστέ,*

Γεώδους προσπαθείας ἐκτὸς
τῷ πυριπνόῳ
35 ἐλειτούργησας,
τοῦ λειτουργοῦ τῇ θεραπείᾳ
τὸν δεσπότην μειλισσόμενος.

Ἐν πνεύματι ἐδέξω διπλᾶ
τοῦ διδασκάλου
40 τὰ αὐχήματα,
οὐκ ἀστοχήσας ῥαθυμίᾳ
τῆς ἐκείνου ἀναβάσεως.

Γοερῶς Ἠλιοὺ διαστὰς
καὶ διαρρήξας
45 τὸ χιτώνιον,
τῇ μηλωτῇ συνδιαρρήσσεις
καὶ τὸν ῥοῦν τὸν ἰορδάνειον.

θεοτ. * Ἱκέτευε ἀπαύστως, ἁγνή,
τὸν προελθόντα
50 ἐκ λαγόνων σου
ῥυσθῆναι πλάνης διαβόλου
τοὺς ὑμνοῦντάς σε μητέρα θεοῦ.

heirm. γ' EE 132, n. 183, Joannis, integrum refert A pro *Δυνάμει τοῦ σταυροῦ* heirm. eiusdem rythmi *Στερέωσον ἡμᾶς, ὁ θεός*, ibid., Cn subicit
33 ἐκτὸς] ἐκστὰς Cn Σε 36 τὴν θεραπείαν Cn Pv 37 τοῦ δεσπότου Cn μελισσόμενος Cn A Pv 38 διπλᾶ] λεπτὰ Cn 43 Γερῶς Σε Νοερῶς Pv 46 συνδιαρρήττεις Cn Σε A Pv 48-52 θεοτ. MR IV, 25 om. Cn J Σε 52 μητέρα θεοῦ] θεόνυμφε A Pv
post oden γ' refert A κάθ. Προβλέψει θεϊκῇ MR V, 289

34-35 III Regn. 19,21 38-42 IV Regn. 1-11 43-47 ibid. 2,12-14

ᾠδὴ δ΄. Ἀκήκοα, κύριε,
τὴν ἐκ τοῦ τάφου σου ἔγερσιν
καὶ ἐδόξασά σου
τὴν ἀήττητον δύναμιν.

Ἡ πάλαι τὰ νάματα
καὶ νῦν τὴν ἄκαρπον φρένα μου
55 θεραπεύει χάρις
ταῖς Ἐλισσαίου ἐντεύξεσιν.

Θεόθεν πεπλούτηκας
τῶν ἐσομένων τὴν δήλωσιν
καὶ θηρσὶ τῶν παίδων
60 συναναιρεῖς τὸ κακότροπον.

Ὠράθης, ἀοίδιμε,
τῇ παρθενίᾳ κοσμούμενος
τοῖς ἐν ζόφῳ πλάνης,
οἷα φωστὴρ τηλαυγέστατος.

65 Σιγᾶν οὐ δεδύνηται
ἡ πνευματοκίνητος γλῶσσά σου
τὰ φρικτὰ ἐν βίῳ,
Ἐλισσαιέ, κατορθώματα.

θεοτ. * Κυρίως δοξάζομεν
70 σέ, θεοτόκε ἀνύμφευτε,
καὶ τῷ σῷ λιμένι
οἱ πιστοὶ καταφεύγομεν.

---

heirm. MR IV, 25 integrum referunt Σγ A heirm. 1 Εἰσακήκοα J 2 τοῦ om. Σγ J A 3-4 καὶ ἐδόξασά σου τὸ φιλάνθρωπον δέσποτα καὶ τὴν ἀήττητον δύναμιν A ἀκήκοα κύριε / τὴν ἀκοὴν tantum praebet Cn 53-56 troparium om. A 53 Ἡ] Ὁ Pv 55 θεραπεύσει Σγ Σε 56 τῆς ἐλισσαίου ἐντεύξεως Cn 57 ἐπλούτησας Σγ ἐπλούτισας Cn 58 ἐσομένων] ἐπομένων Σγ, ἐσομένην A 59 θηρσὶ] θηρεῖ Σε 60 συναιναιρεῖς Σγ 66 ἡ om. Σε πνευματεύφορος Σγ 68 ἐλισσαῖε Σγ 69-72 θεοτ. MR IV, 26 om. Cn J Σε 70 θεοτόκον MR

53-55 IV Regn. 2,19-22 59-60 ibid. 2,23-24

f. 74 ‖ *ᾠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Τὸ ἥσυχον, τὸ πρᾶον, τὸ ὅσιον
τῆς ψυχῆς σου
75 προφήτην σε ἔδειξεν,
Ἐλισσαιέ, διὰ πνεύματος.

Ἡ θεία σου τῶν λόγων ἐνέργεια
φωτιεῖ με
ῥήσεσι τοῦ πνεύματος,
80 Ἐλισσαιὲ παμμακάριστε.

Νεκρὰ ἡ ἁμαρτία ὡς ζῶντι
παρισταμένῳ
κυρίῳ, προφῆτα, σοί,
Ἐλισσαιέ, ἐλελόγιστο.

θεοτ. 85 * Μὴ παύσῃ δυσωποῦσα ὃν ἔτεκες,
θεοτόκε,
σῶσαι τὰς ψυχὰς ἡμῶν
τῶν ἀνυμνούντων σε, ἄχραντε.

ᾠδὴ ς΄. Ἐκύκλωσέ με ἄβυσσος

Ἐνέπλησε χειμάρρουν ποτὲ
90 οὐκ ὄμβρος

---

heirm. ε΄ EE 132, n. 183, Joannis 73 τὸ ὅσιον] θεόπνευστε J A Pv 76 διά πίστεως J A, minime legitur in Pv 78-80 φωτιεῖ usque ad παμμακάριστε] φωτισθεῖσα / ναμάτων τοῦ πνεύματος / ἐλισσαιὲ διὰ πνεύματος Cn 78 φωτιεῖ] ποτιεῖ Σε 79 ῥήσεσι] ῥημάτων Σγ, ναμάτο Σε 81-84 troparium sic praebet Cn: Νεκρὰ ἡ ἁμαρτία / ὡς ζῶσα ἐν σοὶ παρέστη / θεῷ παριστάμενος / ἐν σοὶ προφῆτα λελόγισται 83 προφῆτα, σοὶ] προφήτην σε J A Pv 84 προσλελόγιστο J 85-88 θεοτ. MR VI, 81 om. Cn J Σε 85 Μὴ παύσῃ δυσωποῦσα] Ἱκέτευε ἀπαύστως Σγ 88 τῶν usque ad ἄχραντε] τῶν ὀρθοδόξως ὑμνοῦντω σε Σγ, τῶν ἐκτενῶς ἀνυμνούντων σε MR
heirm ς΄ EE 132, n. 183, Joannis, integrum refert A 89 χειμάρρους Cn

---

81-83 Cfr. Rom. 6,10-11 89-95 IV Regn. 3,13-20

οὐ πνεῦμα ἀέριον,
αἰθρία δὲ ἄχραντος,
προφῆτα, καὶ λόγος σου
δι' ἐνεργείας
95 τοῦ πνεύματος πληρούμενος.

Λιβάδος ἐξ ὀλίγης ποτέ,
προφῆτα,
ὡς ἔπλησας ἀφθόνως
ἐλαίου τὸ γύναιον
100 κἀμοὶ θεῖον ἔλεος
νῦν ἐπιβλύσαι,
Ἐλισσαιέ, ἱκέτευε.

Ἱερώτατον γύναιον,
προφήτου
105 τῇ πίστει νευρούμενον,
ἐν γήρᾳ στειρώσεως
τὴν λύσιν κομίζεται,
τῇ εὐξενίᾳ
τὸ εὔτεκνον δρεπόμενον.

θεοτ. 110 * Βάτον σε ἀκατάφλεκτον
καὶ ὄρος
καὶ κλίμακα ἔμψυχον
καὶ πύλην οὐράνιον
ἀξίως δοξάζομεν,

---

92 αἰθρία] οὐσία Σε ἄχραντος] χάριτος J A Pv 93 λόγοις Cn σου] σε A Pv 96 Λιβάδας Cn A Pv 99 ἐλαίῳ A Pv 100 ἔλεος] ἔλαιον, postea ἔλεον J, ἔλεον Σε, ἔλαιον A Pv 104 προφῆτα A Pv 105 νευρούμενος Cn 106 ἐν γήρᾳ] ἐγείρεις Cn 107 λύσιν] πίστιν Cn 108 δι' ἐντευξίας J A Pv 109 δρεπόμενον] καρπούμενον J A Pv, κομίζεται Cn 110-116 θεοτ. MR IV, 26 om. Cn J Σε

96-99 IV Regn. 4,1-7 103-109 ibid. 4,8-17 110 Ex. 3,2
111 Dan. 2,34 112 Gen. 28,12 113 Ez. 44,1-2

115 Μαρία ἔνδοξε,
ὀρθοδόξων καύχημα.

f. 74v || ᾠδὴ ζ'. *Ὁ ἐν καμίνῳ πυρὸς*

Σοφίας κρείττονος,
Ἐλισσαιέ, πλησθείς, ἐβόας·
« εὐλογητὸς ὁ θεὸς
120 ὁ τῶν πατέρων ἡμῶν ».

Σύ, ὡς ζωῆς λειτουργός,
τῇ κυησάσῃ αὖθις ζῶντα
τὸν νεκρωθέντα υἱόν,
προφῆτα, δέδωκας.

125 Ἀπορουμένους ποτὲ
τῶν προφητῶν ἐκτρέφων παῖδας,
ὀλεθροτόκου βορᾶς
τελεῖς ἀπήμονας.

---

115 ἔνδοξε] ἄχραντε Σγ
post oden ϛ' refert A κοντάκ. Διπλῆν τὴν χάριν εἰληφώς AK 121 et οἶκ. Ὥριμος ὥσπερ βότρυς AK 186 Pv hoc praebet κάθ. ineditum

Κάθισμα. Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Προφήτην σε ἔδειξε
πνεῦμα τὸ ἅγιον,
σαφῶς ἐλλαμπόμενον
θεῖα μυστήρια,
5 Ἐλισσαιὲ παμμακάριστε·
ὅθεν σήμερον πάντες,
τὴν ἁγίαν σου μνήμην
πίστει ἐπιτελοῦντες,
ἐκτενῶς σοι βοῶμεν·
10 « ἱκέτευε τὸν σωτῆρα
σωθῆναι τὰς ψυχὰς ἡμῶν ».

heirm. ζ' EE 132, n. 183, Joannis, integrum refert A 118 ἐβόα Cn Σε 120 v. om. Pv ἡμῶν om. Σγ Cn 121 ὡς] ὁ Σγ λειτουργός] θησαυρός Cn 124 δέδωκας] ἔδειξας J A Pv 126 τῶν] τοὺς Σγ Σε 127 ὀλεθρουτόκου Σε, ὀλοθροκτόνου A, ὀλεθροκτόνου Pv

---

121-124 IV Regn. 4, 18-37 125-129 ibid. 4,38-41

Ἱερόν, ἔμψυχον
130 καὶ ἀρεταῖς ἠγλαϊσμένον,
Ἐλισσαιέ, τῷ θεῷ
σαυτὸν ἀνέθηκας.

θεοτ. * Ὁ ἐκ παρθένου τεχθείς,
ἣν θεοτόκον ἀπειργάσω,
135 εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄. *Τὸν διαδροσίσαντα τὴν κάμινον*

Ὁ τῷ πειθαρχήσαντι τὴν κάθαρσιν
προφήτου προστάγματι
ἐν ῥείθροις Ἰορδάνου νείμας,
140 παῖδές σε ἀνυμνοῦσιν,
ἱερεῖς θεολογοῦσιν,
λαοὶ ὑπερυψοῦσιν,
Χριστέ, εἰς τοὺς αἰῶνας.

Ὕλης ἐκκαθάρας τὴν διάνοιαν,
145 ἀΰλως τὸν ἄϋλον
πόθῳ κραθεὶς τεθέασαι·
ὅθεν σκιρτῶν ἐβόας,
θεοδίδακτε προφῆτα·
« Χριστὸν ὑπερυψοῦτε
150 εἰς πάντας τοὺς αἰῶνας ».

---

129 Ἱερεῖον ἔμπνουν Cn ἔμψυχον σὺ Σγ 133-136 θεοτ. MR IV, 27 om. Cn J Σε 135-136 post εὐλογητὸς cetera om. Pv 136 v. om. A
heirm. η΄ EE 141, n. 196, Sinaiticus, quem Σγ A integrum referunt 137 Ὁ] Οἱ A κάθαρσιν] κάμινον A 138 προστάγμασιν Cn 139 ϊορδάνουν εἱμᾶς Σε νείμας] ἡμᾶς Cn 140-143 post παῖδες cetera om. Cn 140 ὑμνοῦσιν A 141 θεολογοῦσιν] ὑμνολογοῦσιν Σγ 142 λαὸς A 143 v. om. Σγ Χριστέ, εἰς] εἰς πάντας J τοὺς αἰῶνας om. J χριστὸν A αὐτὸν εἰς τοὺς Σε, qui αἰῶνας om. 145 ἀΰλως] ἀΰλοις Cn 147-150 ὅθεν] παῖδες Cn, qui cetera om. 149 ὑπερυψοῦμεν A 150 v. om. Σγ Σε Pv πάντας om. A

137-139 IV Regn. 5,9-14

Χάριτι προβλέπων τὰ ἐσόμενα,
ἐν ξύλῳ τὸν ἄχραντον
σταυρὸν ὁρᾷς τυπούμενον·
ὅθεν ἐβόας χαίρων,
155 ὡς θεόπνευστος προφήτης·
« Χριστὸν ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἅρμασι πληθὺν ἐπιθεμένην σοι
πατάξας, θεσπέσιε,
160 ζόφῳ, ἀφθόνως ἔθρεψας,
f. 75 ‖ ταύτης εὐεργεσίᾳ
τὴν παράνοιαν ἐλέγχων,
« Χριστὸν ὑπερυψοῦτε »,
βοῶν, « εἰς τοὺς αἰῶνας ».

θεοτ. 165 Ἄγγελοι θαυμάζουσι τὸν τόκον σου,
ἁγνὴ καὶ θεόνυμφε,
καὶ σὺν ἡμῖν κραυγάζουσιν·
« παῖδες θεολογεῖτε,
ἱερεῖς ὑμνολογεῖτε,
170 λαοὶ ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ΄. *Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον μητέρα θεοῦ*

Ῥάβδῳ τμητικὸν ἀνέλκων σιδήριον
ὁ προφήτης, τὴν ἔνυλον

---

152 ἄχραντον] ἄναρχον A 153 σταυρῷ Pv ὁρῶν Cn τυπόμενον A 154-157 ὅθεν] παῖδες et cetera om. Cn 155 ὡς ...... προφήτης] θεοδίδακτε προφῆτα J A Pv 157 v. om. cdd. 158-164 troparium om. A 160 ἔτρεψας J vv. 161-164 παῖδες θεολογεῖτε et cetera om. Cn 161 ταύτην J Pv 162 ἐλέγχεις J 163 Χριστὸν] βοῶν J Pv 164 v. om. Σγ J Pv αἰῶνας om. Σε 165-171 θεοτ. om. Cn J Σε 165 θαυμάζουσι] δοξάζουσι A Pv 167 καὶ ...... κραυγάζουσιν] μεθ᾽ ὧν ἀπαύστως ψάλλομεν A Pv 169-171 post ἱερεῖς cetera om. Σγ 171 v. om Pv
heirm. θ΄ EE 132, n. 183, Joannis, integrum refert A 172 Ῥάβδω τμητικῷ ἀνελῶν σιδήριον Cn ἀνελκῶν Σε 173 ἔνυλον] ἄϋλον Cn

---

151-153 IV Regn. 6,5-7 158-160 ibid. 6,14-23 172 ibid. 6,5-7

ἀνθρώπων ὑπόστασιν
175 τῷ σταυρῷ ὑψουμένην
ἐδιδάσκετο.

Ἵνα τῶν σωμάτων δείξῃ ἀνάστασιν,
ὁ ζωάρχης ἀνίστησι
νεκροὺς καὶ δι' ἄπνου σαρκός,
180 τοῦ προφήτου μηνύων
τὸ ὑπέρτιμον.

Νῦν ἐν μακαρίᾳ λήξει γενόμενος,
ἱκετεύοις, θεσπέσιε,
τῆς μακαριότητος
185 μετασχεῖν τοὺς ἀεί σε
μεγαλύνοντας.

θεοτ. * Χαῖρε, θεοτόκε, μήτηρ Χριστοῦ τοῦ θεοῦ,
ὃν ἐκύησας αἴτησαι
πταισμάτων τὴν ἄφεσιν
190 δωρηθῆναι τοῖς πίστει
ἀνυμνοῦσί σε.

---

174 ἀνθρώπων] ἀΰλως Cn 177-181 troparium bis scriptum in Pv: in margine alterius exemplaris ἄφες legitur 177 τῶν] τὴν Σγ Σε 178 ἀνίστησι] καὶ κύριος Cn 179 νεκροὺς δι ὕπνου σαρκὸς Σγ νεκρὸν σχεδὸν ἄπνουν σαρκὶ J A Pv ἄπνους Cn 180 μηνύει Σε 183 ἱκέτευε Cn 185 σε om. Σε 186 μακαρίζοντας J A Pv 187-191 θεοτ. MR IV, 28 om. Cn J 190 δωρεθῆναι Σε τοὺς Pv

---

178-179 IV Regn. 13,20-21

IN SANCTUM VITUM MARTYREM

Vat. gr. 2069 = Vb, ff. 197-198
Matrit. gr. 4694 = A, ff. 33-35

Ὁ κανὼν ⟨φέρων ἀκροστιχίδα τήνδε·
Αἴνεσιν ᾄδω τῷ ἀθλοφόρῳ Βίτῳ⟩.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἀστραπιαίως χορεύων
ἐν οὐρανοῖς
σὺν ἀγγέλοις, ἔνδοξε,
πρὸς τὴν αἴνεσιν αὐτῶν
5 τὴν ψυχήν μου φώτισον, διδοὺς
εὐπροσδέκτοις σου λιταῖς
λόγον μοι εὔρυθμον.

Ἰλύος πάσης ῥυφθέντες
τῶν ἡδονῶν
10 δι' ἐνθέου πράξεως,
ἐν ᾠδαῖς πνευματικαῖς
εὐσεβῶς γηθόμενοι, πιστοί,
Βῖτον τὸν πανευκλεῆ
ἐγκωμιάσωμεν.

15 Νόμῳ τῷ θείῳ ἐκ βρέφους
ὡς τοῦ Χριστοῦ

---

tit. tantum ὁ κανὼν cdd. referunt: acrostichis ex tropariis deducitur heirm. α' EE 159, n. 224, Joannis 4 αὐτῶν scripsi: αὐτῶ cdd. post v. 7 add. Vb nonnulla verba, quae minime tropario pertinent 10 δι' ἐν θεῶ A

15-21 *Μαρτύριον τοῦ ἁγίου Βίτου, Μοδέστου καὶ Κρισκεντίας,* ex cd. Ottobon. gr. 1, f. 282v: Ἐν τῇ χώρᾳ Λουκανίας, ἐν τοῖς χρόνοις Διοκλητιανοῦ τοῦ βασιλέως, πολ-

τῆς εἰκόνος σύμμορφος
μελετῶν διηνεκῶς,
οὐ προσήκω, ἔνδοξε, βουλαῖς
20 πορευθῆναι ἀσεβῶν
διὰ χρηστότητα.

θεοτ. * Τὸν ἑαυτῆς δεξαμένη
δημιουργόν,
ὡς αὐτὸς ἠθέλησεν,
25 ἐξ ἀσπόρου σου γαστρὸς
ὑπὲρ νοῦν σαρκούμενον, ἁγνή,
τῶν κτισμάτων ἀληθῶς
ἐδείχθης δέσποινα.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
κύριε ὁ θεός μου,

Ἐπέβης τῇ βασιλικῇ
30 πρακτικῇ θεωρίᾳ
τρόμῳ, ὅθεν εἰσήχθης
αἰωνίαν πρὸς τρυφὴν
ὁλολαμπὴς ὥσπερ φῶς
θείᾳ αἴγλῃ,
35 Βῖτε θεοδόξαστε.

Στεφάνῳ ἔστεψε Χριστὸς
τὴν ἁγίαν σου κάραν

22-28 θεοτ. PaR 458 26 νοῦν om. Vb
heirm. γ' EE 159, n. 224, Joannis

λὰς δυνάμεις ὁ μακάριος Βῖτος ἠργάζετο ἐν τῇ αὐτοῦ παιδότητι, φοβούμενος τὸν κύριον οὐρανοῦ καὶ γῆς· ἡμέρας δὲ καὶ νυκτὸς ἐδέετο τοῦ θεοῦ, ἐπιστρέφων ψυχὰς τῶν ἀπίστων καὶ ἐσχόλαζεν ἐν ἐλεημοσύναις εἴς τε χήρας καὶ ὀρφανούς. ἦν δὲ ἐκ γένους εὐγενοῦς..... ἦν δὲ ὁ πατὴρ αὐτοῦ εἰδωλολάτρης ἀσεβής, ... ἠνάγκαζε δὲ ὁ πατὴρ αὐτοῦ τὸν ἅγιον παῖδα, ὅπως πρὸς τὸ τῶν εἰδώλων σέβας ὑπαγάγῃ αὐτόν· πρὸς ὃν ὁ μακάριος Βῖτος ἀπεκρίθη λέγων· «ἐγὼ οὐκ οἶδα ἄλλον θεὸν εἶναι, εἰ μὴ ὅστις εἰς τὸν αἰῶνα διαμένει, οὗ τὸ πνεῦμα ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος, ὃς διεχώρισε τὸ φῶς ἀπὸ τοῦ σκότους, καὶ ἐκάλεσε τὸ φῶς ἡμέραν· αὐτῷ ἐγὼ λατρεύω, τῷ βασιλεῖ τῶν ἀγγέλων, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.....

ἀφθαρσίας καὶ γέρα
ἰαμάτων δωρεὰν
40 παρέσχεν ὅσους δι' ἧς
θεραπεύεις,
Βῖτε θεοπλούτιστε.

Ἱδρῶσι θείων ἀρετῶν
καὶ τῷ τοῦ μαρτυρίου
45 αἵματί σου τὴν χλαῖναν
ἀπεδύσω τῆς φθορᾶς,
ἀειζωΐας στολὴν
θείαν εὗρες,
Βῖτε θεοδίδακτε.

θεοτ. 50 * Οὐ σθένει λόγος σε βροτῶν
οὐδὲ γλῶσσα, παρθένε,
εὐφημῆσαι ἀξίως·
ἐκ σοῦ γὰρ ἄνευ σπορᾶς
ὁ ζωοδότης Χριστὸς
55 σαρκωθῆναι,
πάναγνε, ηὐδόκησεν.

Κάθισμα.

Ἦχος δ'. *Ἀπεστάλη Γαβριὴλ*

Εὐθὺς ὄρπηξ ἀληθῶς
....

ᾠδὴ δ'. *Χριστός μου δύναμις,*
θεὸς καὶ κύριος

Νομίμως ἤθλησας
καὶ δι' ἀγάπησιν
τοῦ Χριστοῦ, οὗ προεῖπας·

---

42 θεοδόξαστε A 50-56 θεοτ. PaR 459 54 ζοώτης Vb
κάθ. SBN 9 (1957), 310 Vb ut heirm. καθ. *Κατεπλάγη Ἰωσὴφ* refert
heirm. δ' EE 159, n. 224, Joannis 58 διὰ ἀγάπησιν Vb (καὶ om.)

45-48 Cfr. I Cor. 15,53-54

60 « ἐν τῷ φωτὶ
πορεύσομαι χάριτι »,
ᾧ καὶ ἐλάτρευσας πιστῶς,
μάρτυς Βῖτε ὡραιόψυχε.

Ἀγνοίᾳ ἄφρονι
65 καὶ ἀθεότητι
τοῦ γεννήτορος ζῶντος,
ἐξ ἀκανθῶν
οἷά περ ἀνέθαλε
ῥόδον ὁ παῖς καὶ παγκλεὴς
70 Βῖτος, ἕλκων πρὸς εὐσέβειαν.

Δοχεῖον πνεύματος
τοῦ θείου γέγονας·
Ἠλιοὺ γὰρ τὸν ζῆλον
καὶ τὸ θερμὸν
75 τοῦ Μωσέως ἔσχηκας,
νῦν καὶ τὸ πρᾷον τοῦ Δαυΐδ,
μάρτυς Βῖτε ἀγγελόμορφε.

θεοτ. * Νεκρόν με ἔδειξε
φυτοῦ ἀπόγευσις,
80 τῆς ζωῆς δὲ τὸ ξύλον
f. 197v || ἐκ σοῦ φανέν,
πάναγνε, ἀνέστησεν,
καὶ παραδείσου τῆς τρυφῆς
κληρονόμον με κατέστησεν.

---

69 παγκαλὴς Vb 71 πνεύματος] γέγονας Vb 72 γέγονας] πνεύματος Vb 76 νῦν om. Vb 78-84 θεοτ. PaR 460 79 φυτῶν Vb 83 καὶ] ἐκ Vb 84 κληρονόμον με] κληρονόμε Vb

---

78-79 Gen. 3,6ss. 80 Gen. 2,9; Prov. 3,18; Apoc. 2,7 83-84 Apoc. 2,7

ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

85 Ὡς ἄρνα ἄκακον καὶ εὐθύ,
οἷά περ εἰς βρῶμα ὁ πατὴρ
θηρῶν ὃν ἔτεκε παῖδα σοφὸν
σὲ προδίδωσι τοῖς ἐχθροῖς
Ὑλάς, ἀθλητά,
90 μὴ καμφθεὶς τῆς φύσεως
σπλάγχνοις ὁ δόλιος.

Τῷ ὅπλῳ, ἅγιε, τοῦ σταυροῦ
περιπεφραγμένος εὐθαρσῶς,
πρὶν ἢ δικάζει τῇ κρείττονι,
95 σὲ τοὺς τύψαντας δυσσεβεῖς,
ὡς ὢν συμπαθής,
ἰατρεύεις δὲ τούτους,
Βῖτε πανένδοξε.

Ὡς πέλων, ἔνδοξε, κοινωνὸς
100 τοῦ παμβασιλέως Ἰησοῦ

---

heirm. ε΄ EE 159, n. 224, Joannis 87 ἔτεκες Vb 88-91 σὲ ἐχθροῖς προδίδει / μὴ καμφθεὶς ἔνδοξε / τῆς φύσεως καὶ σπλάγχνοις / ὁ δολιώτατος A 88 προδίδουσιν Vb 89 Ὑλὰς scripsi: ὑμὰς Vb 90 καμθῆς Vb 91 σπλάγχοις Vb 92-98 troparium om. A 99 κοινωνοῦς Vb

---

85-98 *ibid.*, f. 283: .....ὁ Βαλλεριανός, προσκαλεσάμενος τὸν πατέρα αὐτοῦ, ἔφη πρὸς αὐτόν· « ἀκούω ὅτι ὁ υἱός σου τὸν Χριστὸν ὁμολογεῖ, τὸν ἐν τῇ Ἰουδαίᾳ σταυρωθέντα, καὶ τοὺς θεοὺς ἡμῶν καταγελᾷ. ἐλθάτω οὖν πρὸς ἡμᾶς ». προσαχθέντος δὲ αὐτοῦ, καθίσας ὁ ἔπαρχος ἐπὶ τοῦ βήματος, ἠρώτησεν αὐτὸν λέγων· « τίνος ἕνεκεν οὐ θύεις τοῖς θεοῖς; ..... ». ὁ δὲ μακάριος Βῖτος ..... ἤνοιξε τὸ στόμα αὐτοῦ λέγων· « ἐγὼ λίθοις γλυπτοῖς οὐ λατρεύω, ἀλλ᾽ ἔχω θεὸν ᾧ λατρεύει ἡ ψυχή μου » ..... ὀργισθεὶς δὲ ὁ Βαλλεριανός, || (f. 283v) ἐκέλευσε τὸ παιδίον κατ᾽ ὤμου τύπτεσθαι. οἱ δὲ τὰς χεῖρας εἰς τὸ παιδίον ἐπιβαλεῖν δοκιμάσαντες, παραχρῆμα οἱ βραχίονες αὐτῶν ἐξηράνθησαν. ἔκραξεν οὖν ὁ ἔπαρχος· « οἴμοι τὴν χεῖρά μου ἀπώλεσα », τῷ πόνῳ βασανιζόμενος. τότε καλέσας τὸν πατέρα τοῦ ἁγίου, λέγει αὐτῷ· « ὁ υἱός σου, καθὼς ὁρῶ, μάγος ἐστίν ». ὁ ἅγιος Βῖτος εἶπεν· « ἡ ἐμὴ μαγεία ὁ Χριστός ἐστιν..... ». Βαλλεριανὸς εἶπεν· « τί γὰρ σὺ δύνασαι τοῦτο ποιῆσαι; ». ὁ ἅγιος Βῖτος εἶπεν· « ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ δύναμαι τοῦτο ποιῆσαι ». καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα, παραχρῆμα ἀποκατέστησε τὴν χεῖρα αὐτοῦ ὑγιῆ. τότε ὁ ἔπαρχος ἔδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ.....

Χριστοῦ τοῦ πάθους, καὶ εἴληφας
τῶν θαυμάτων χάριν
καὶ δωρεὰν παρασχεῖν
ἀφθόνως τοῖς νοσοῦσι
105 πᾶσιν ἰάματα.

θεοτ. * Θρηνείτω σύστημα δυσσεβὲς
τῶν μὴ κηρυττόντων σε ἁγνὴν
διαρρήδην θεομήτορα·
σὺ γὰρ πύλη θείου
110 φωτὸς ἐδείχθης ἡμῖν,
τὸν ζόφον τῶν πταισμάτων
διασκεδάζουσα.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Ἀστὴρ ὥσπερ ἄδυτος
τὰς αἰσθήσεις τῶν πιστῶν
115 φωτίζων ἐν τοῖς θαύμασι
πάντων ἐδείχθης, Βῖτε θαυματουργέ·
διὸ ἐπαξίως σε
ἐν ᾠδαῖς εὐφημοῦμεν
καὶ δοξάζομεν.

120 Θαῦμα, πῶς ὁ βέβηλος
οὐκ ᾐσθήθη ταῖς φρεσίν,
πατὴρ ὀνομαζόμενος·
ὁ παῖς γὰρ Βῖτος ὄντως παιδαγωγὸς

---

103 παρέχειν Vb   106-112 θεοτ. PaR 461   106 δυσσεβῶν PaR
107 ἁγνὴν post σε scripsi metri causa: cdd. et PaR post διαρρήδην (v. 108) ἁγνὴν referunt

heirm. ϛ' EE 159, n. 224, Joannis

123-126 *ibid.*, f. 282v: ..... ἔκλαιεν οὖν ὁ πατὴρ αὐτοῦ Ὑλάς, ὅτι μονογενὴς ἦν αὐτῷ καὶ ἁπαλοῖς λόγοις ἐκολάκευεν αὐτόν, ὅπως πρὸς τὸ τῶν εἰδώλων σέβας ἐπιστρέψῃ αὐτόν. πρὸς ὃν ἀπεκρίθη ὁ ἅγιος Βῖτος καὶ εἶπεν· || (f. 283) « ποίοις θεοῖς κελεύεις μεθύειν; ». ὁ δὲ πατὴρ αὐτοῦ εἶπεν· « οὐ γινώσκεις εἶναι θεοὺς τὸν Δία καὶ

---

109 Ez. 44,2

τοῦ δεινοῦ ἐδείκνυτο,
125 διελέγχων τὴν τούτου
ἀθεότητα.

Λαμπρὰν καὶ ὑπέρφωτον
φωταυγίαν κατιδὼν
γεννήτωρ ὁ παγκάκιστος
130 ἐπισκιάσασαν τὸν υἱὸν αὐτοῦ
τυφλοῦται, ἀνάξιος
ὡς ὑπάρχων τῆς θέας
καὶ ἀμέτοχος.

θεοτ. * Ἡ πάναγνος δέσποινα,
135 ἡ τεκοῦσα τοῖς βροτοῖς
τὸν κυβερνήτην κύριον,
τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινὸν
κατεύνασον τάραχον,
καὶ γαλήνην παράσχου
140 τῇ καρδίᾳ μου.

---

132 θείας Vb   134-140 θεοτ. PaR 462

τὸν Ἑρμῆν, οἷς καὶ οἱ αὐτοκράτορες ὑπόκεινται; ». ὁ ἅγιος Βῖτος εἶπεν· « ἐγὼ οὐδέποτε ἀκήκοα πλείστους θεοὺς εἶναι· γινώσκω δὲ ἕνα θεόν, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, τριάδα ἀχώριστον..... ». Ὑλὰς εἶπεν· « οἶδα ἐγώ, ὅτι τὸν Χριστὸν ὃν σὺ λέγεις παρὰ ἀνθρώπων ἐν τῇ Ἰουδαίᾳ ἐσταυρώθη καὶ ἔμπροσθεν Πιλάτου ἐφραγελλώθη καὶ μαστιχθεὶς παρεδόθη τοῦ σταυρωθῆναι ». ὁ ἅγιος Βῖτος εἶπεν· « ἡ ἐκείνου παράδωσις καὶ σταύρωσις ἁμαρτωλῶν ἐστι σωτηρία καὶ λύτρωσις, ἀφ' οὗ οὐδεὶς δύναταί με ἀποχωρῆσαι..... ».

127-133 *ibid.*, f. 283v: ..... προσέταξε δὲ ὁ πατὴρ αὐτοῦ τὸ κουβούκλιον (κοβούκλιον cd.) κατασκευασθῆναι καὶ κοσμηθῆναι διαφόροις λίθοις τιμίοις καὶ ἐν αὐτῷ κατακλεισθῆναι αὐτόν. αὐτὸς δὲ εἰσελθών, κλίνας τὰ γόνατα προσηύχετο πρὸς κύριον λέγων· « ὁ θεὸς Ἀβραάμ, ὁ θεὸς Ἰσαάκ, ὁ θεὸς Ἰακώβ, ἐλέησόν με καὶ βεβαίωσον ἐν τῇ δυνάμει σου..... ». καὶ ταῦτα εὐξαμένου αὐτοῦ, περιέλαμψεν ἐν τῷ κουβουκλίῳ ὡσεὶ δώδεκα λαμπάδες καιόμεναι καὶ εὐθέως ἐγένετο εὐωδία ὡς ἀπὸ ἀρωμάτων πολυτίμων, καὶ ἐπλείσθη ὁ πατὴρ αὐτοῦ καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ τῆς ὀσμῆς καὶ ἔλεγον· « οὐδέποτε τοιαύτην εὐωδίαν μεμνήμεθα ποτέ ». Ὑλὰς εἶπεν· « οἱ θεοὶ ἐληλύθασιν ἐν τῷ οἴκῳ πρὸς τὸν υἱόν μου ». καὶ ἀτενίσας διὰ τῆς θυρίδος εἰς τὸ ταμεῖον, διηνοίχθησαν αὐτοῦ οἱ ὀφθαλμοὶ καὶ θεωρεῖ ἑπτὰ ἀγγέλους ἑστηκῶτας ἔμπροσθεν || (f. 284) τοῦ παιδίου, ἔχοντας πτέρυγας καθάπερ ἀετοὶ καὶ λέγοντας· « ἅγιος, ἅγιος κύριος σαβαώθ ». παραχρῆμα δὲ Ὑλὰς ἐτυφλώθη.

Κοντάκιον.

Ἦχος α'. *Ὁ σοφίσας ὑπὲρ ῥήτορας τοὺς ἁλιεῖς*

Ὁ ποιήσας τὰ σύμπαντα ὡς δυνατὸς

. . . .

Ὁ οἶκος.

Ναὸς ἐφάνης, ὦ μακαριστέ,
ὡς Ἠλίας ὁ μέγας

. . . .

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ὃν οὐκ ἴσχυσεν ἀψύχων ἡ ἐπίκλησις
πάσχοντα ὠφελῆσαι τυφλόν,
ἐθεράπευσε
δι' εὐχῆς υἱὸς ὁ παμφαὴς
145 πατέρα τὸν ἴδιον, βοῶν·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

κοντάκ. et οἶκ. PAS I, 582-583: in cdd. ὁ οἶκ. inc. Νέος ἐφάνης, ὦ μάκαρ Βῖτε....., sed ex textu vera videtur lectio Ναὸς ἐφάνης.....
heirm. ζ' EE 159, n. 224, Joannis vv. 141-147 ut secundum troparium post vv. 148-154 refert A 146 εὐλογῆτε Vb 147 ἡμῶν om. A

141-154 *ibid.*, f. 284: καὶ παραλαβόντες Ὕλαν οἱ παῖδες αὐτοῦ, ἤγαγον εἰς τὸν ναὸν τοῦ Διός. αὐτὸς δὲ ἐπαγγέλλετο θυσίας αὐτῷ προσκομίζειν εἰπών· « ὁ θεός μου Δίας, ἐὰν σώσεις με, προσφέρω σοι χρυσοκέρατον ταῦρον καὶ ταῖς ἱεραῖς παρθένοις ». ὁ Δίας δὲ ὕπνῳ κατείχετο καὶ οὐδεμίαν αὐτῷ βοήθειαν παρέσχεν..... ὁ δὲ μακάριος παῖς γονυπετήσας, ἐκτενῶς ἐδυσώπει τὸν κύριον λέγων· « ὁ τὸν Τωβὶτ φωτίσας καὶ τὸν Ἰὼβ ἐκ τοῦ ἕλκους σώσας, αὐτὸς ποίησον ἔλεος μετὰ τοῦ πατρός μου, ἐὰν πιστεύσει εἰς σέ », ... καὶ ἐπιθεὶς τὴν χεῖρα ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, εὐθέως ἐξέπεσον ἀπ' αὐτῶν ὡσεὶ λεπίδες καὶ ἀνέβλεψεν. ὁ δὲ ἀνέκραξε μεγάλῃ τῇ φωνῇ λέγων· « εὐχαριστῶ τοῖς θεοῖς μου· αὐτοὶ γὰρ ἔσωσάν με ». καὶ ὁ ἅγιος Βῖτος ‖ (f. 284v) μειδιάσας εἶπεν· « ὁ Χριστὸς ἔσωσέ σε καὶ οὐχὶ οἱ θεοί σου ». ἐκεῖνος δὲ ἐζήτει ποίαις τιμωρίαις τὸν ἴδιον υἱὸν ἀπολέσει. ἄγγελος δὲ κυρίου ἐφάνη τῷ Μοδέστῳ λέγων· « ἆρον τὸν παῖδα καὶ κατάβηθι πρὸς τὴν θάλασσαν καὶ εὑρήσετε πλοιάριον καὶ ἐν αὐτῷ περάσω ὑμᾶς εἰς ἑτέραν γῆν ἐν ᾗ εἴπω σοι » ..... καὶ ἀνῆλθον εἰς τὸ πλοῖον καὶ πλεύσαντες κατήντησαν εἰς τόπον λεγόμενον Ἀλεκτώριον ..... ἦλθον δὲ ἐπὶ τὸν ποταμὸν τὸν λεγόμενον Σαλερνόν, κἀκεῖσε ὑποκάτω δένδρου κατέφυγον.

Φρενοβλαβοῦντα τὸν ἄθεον γεννήτορα
ἔλειπες καὶ εἰς τόπον, σοφέ,
150 ὃν ἐτάξατο
ὁ Χριστός σοι, ὥρμησας, ἐν ᾧ
τῷ πνεύματι ἔχαιρες συνὼν
Μοδέστῳ τῷ πρεσβύτῃ τε
καὶ Κρισκεντίᾳ φαιδρῶς.

155 Ὃν ἠγάπησας Χριστὸν θεὸν καὶ κύριον,
ἅγιε, τοῦ δοξάσαι σε
πρὸς τὸν πάσχοντα
ἐπὶ Ῥώμην ἄγει σε υἱὸν
τοῦ ἄνακτος, ὅνπερ δι' εὐχῆς
160 ἐκ τῆς τοῦ δαίμονος λυγρᾶς
νόσου ἰάτρευσας.

θεοτ. * Ἱλαστήριον τῆς φύσεως σὺ πέφηνας,
μόνη θεομακάριστε·
τὸν ἐπ' ὤμων γὰρ
165 χερουβὶμ καθήμενον θεὸν
ἀγκάλαις βαστάσασα βοᾷς·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

153 μοδεστε Vb 156 ἅγιον A 158 ρώμη Vb υἱὸν scripsi] νυνὶ cdd. 160 λύγρις Vb 162-168 θεοτ. PaR 464 162 πέφυκας PaR 164 ἐπ' ὤμων] ἐπὸμενον (ω supra ο) Vb 166 ἀγκάλας Vb βαστάζουσα PaR 168 v. om. A ὁ om. Vb

---

155-161 *ibid.*, f. 284v: ὁ δὲ τοῦ βασιλέως Διοκλητιανοῦ υἱός, ὑπὸ ἀκαθάρτου πνεύματος ἐνοχλούμενος, ἔλεγεν· « εἰ μὴ ἔλθῃ Βῖτος ὁ λουκανός, οὐ μὴ ἐξέλθω ἀπὸ τοῦ παιδίου τούτου ». Διοκλητιανὸς εἶπεν· « καὶ ποῦ δυνάμεθα τὸν ἄνθρωπον τοῦτον εὑρεῖν; ». λέγει ὁ δαίμων· « ἐν τῇ πόλει τῶν Ἀγριτάνων ὑπάρχει ». ἐξ αὐτῆς οὖν τῆς πόλεως ἐκέλευσε Διοκλητιανὸς στρατιώτας ἐνόπλους μετὰ σπουδῆς ἀπελθεῖν, ἵνα τὸν ἀθλητὴν τοῦ Χριστοῦ ἀπάγωσι. ‖ (f. 285) ..... ὡς οὖν ἔφθασαν ἐν τῇ Ῥώμῃ ..... ὁ βασιλεὺς εἶπεν· « δύνασαι τὸν υἱόν μου θεραπεῦσαι; ». ὁ ἅγιος Βῖτος εἶπεν· « οὐκ ἐγώ, ἀλλ' ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, οὗ ἐγὼ δοῦλος εἰμί ». καὶ προσελθὼν πρὸς τὸν υἱὸν τοῦ βασιλέως ἐπέθηκε τὴν χεῖρα αὐτοῦ εἰπών· « πνεῦμα ἀκάθαρτον, ἀπόστα ἀπὸ τοῦ πλάσματος τοῦ θεοῦ ». καὶ παραχρῆμα ἐξῆλθεν ἀπ' αὐτοῦ ὁ δαίμων.

ᾠδὴ η′. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ῥαντισθέν σου τὸ πνεῦμα
170 Χριστοῦ τῷ αἵματι,
τὸν τοῦ ἄνακτος παῖδα
ἰάσω, ἅγιε·
νέμει σοι δ' αὐτὸς
κακὰ ἀντὶ ἀγαθῶν,
175 κλοιὸν ἐπιθήσας
βαρὺν ἐν τῷ τραχήλῳ.

Ὦ τίς φράσει τὴν δόξαν
ἥνπερ ἑώρακας
καὶ ὀσμὴν τήν σε, Βῖτε,
180 εὐωδιάσασαν,
ἣν ἐν τῇ φρουρᾷ
Χριστὸς ὀφθείς σοι ἔνεμεν,
ὃς καὶ τῶν δεσμῶν σε
ἐρρύσατο, θεόφρον;

185 Βασιλεῖ μὴ ὑπείκειν
φθαρτῷ τοῖς δόγμασιν,

---

heirm. η′ EE 159, n. 224, Joannis 173 νεμεμε σοι δινατος Vb 174 ἀγαθῶν σου Vb 175 ἐνθύσας Vb 180 εὐωδιασαν Vb 181 ἣν] ἀμὴν Vb 182 ὤφθης σοί ἐννηστε Vb 183 ὃ cdd. 185 ὑπήκειν Vb ὑπήκεν A

171-172 Cfr. notationem ad vv. 155-161.

173-184 *ibid.*, f. 285v: ὁ δὲ βασιλεὺς προσέταξε τοῖς ἑαυτοῦ ὑπηρέταις, ἵνα ἐν τῇ φυλακῇ αὐτοὺς ἀπαγάγωσιν. ἐν δὲ τῷ εἰσαχθῆναι αὐτοὺς ἐν τῇ φυλακῇ, ἐκέλευσεν ἕνα ἕκαστον τεσσαράκοντα λιτρῶν σίδηρα αὐτοὺς περιβαλεῖν καὶ τῷ ἰδίῳ σφραγίσαι δακτυλίῳ, ἵνα μηδεὶς αὐτοῖς κομίσῃ μήτε ὕδωρ μήτε ἄρτον. ὄντων δὲ αὐτῶν ἐν τῇ φυλακῇ, ἄφνω φῶς μέγα ἔλαμψεν αὐτούς, ὥστε τοὺς φύλακας θαυμάσαι. ὁ δὲ ἅγιος Βῖτος ἀνέκραξε φωνῇ μεγάλῃ λέγων· « εἰς τὴν βοήθειαν ἡμῶν σὺ πρόσχες, κύριε· τάχυνον τοῦ ῥύσασθαι ἡμᾶς ἀπὸ τῆς τιμωρίας ταύτης..... ». παραχρῆμα δὲ σεισμὸς μέγας ἐγένετο καὶ κατῆλθεν ὁ Χριστὸς πρὸς τοὺς δούλους αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ λέγων· « Βῖτε, ἀνάστα· ἐγὼ γάρ εἰμι Ἰησοῦς Χριστός ». καὶ εὐθέως ὁ σίδηρος ὁ περικείμενος αὐτοῖς ὡσεὶ κηρὸς διελύθη..... ταῦτα ἀκούσας ὁ δεσμοφύλαξ, ἔδραμεν ἐν τῷ παλατίῳ λέγων τῷ βασιλεῖ· ..... « οὓς αὐτὸς ἡμῖν προσέταξας εἰς τὴν φυλακὴν ἐμβαλεῖν, δόξα μεγάλη φωτός ἐστι σὺν αὐτοῖς καὶ ὀσμὴ ἀμέτρου εὐωδίας, καὶ μετ' αὐτοῦ ἄνθρωπος, οὗ τὸ πρόσωπον οὐδεὶς ἀνθρώπων δύναται στοχάσασθαι ».

185-192 *ibid.*, f. 285v: ἐν δὲ τῷ εἰσέρχεσθαι αὐτοὺς εἰς τὸ θέατρον, ὁ ἅγιος Βῖτος ἐνουθέτει τὸν Μόδεστον λέγων· « ἴσχυε καὶ μὴ φοβοῦ τὴν μάχαιραν τοῦ διαβόλου· ἰδοὺ γὰρ ὁ στέφανος ἡμῶν ἑτοιμάζεται » ..... καὶ ὁ βασιλεὺς πρὸς αὐτόν· «παρακάλεσον

τῷ τροφῷ σου Μοδέστῳ
γέροντι, ἅγιε
Βῖτε, προσλαβών,
190 βληθεὶς τῷ ⟨πυρὸς⟩ λέβητι,
ὥσπερ ἐπὶ δρόσου
f. 198 ἑστώς, || Χριστὸν ἀνύμνεις.

θεοτ. * Χρυσαυγῆ σε λυχνίαν
προδιετύπωσεν,
195 δεξαμένην ἀφράστως
φῶς τὸ ἀπρόσιτον,
γνώσει τῇ αὐτοῦ
καταυγάζον τὰ σύμπαντα,
ὃ ὑπερυψοῦμεν
200 εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ′. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἰὸν λεόντων θηρῶν οὐ δέδοικας,
οὐδὲ τροχοῦ
ὀλέθριά τε σκεύη καὶ θήρατρα,
ὡς ἰσχύν, κραταίωμα καὶ ὅπλον Χριστόν,

---

190 πυρὸς add. metri causa 193-200 θεοτ. PaR 465 193 Χρυσαυγης Vb 194 προδηετύπωσιν Vb 199 ὃν sic cdd. 199-200 ὅθεν σε ὑμνοῦμεν, / Ἁγνή, εἰς τοὺς αἰῶνας PaR v. 200 om. A
heirm. θ′ EE 159, n. 224, Joannis 201 δέδοκας Vb

σεαυτὸν καὶ θῦσον τοῖς θεοῖς». ὁ ἅγιος || (f. 286) εἶπεν· « .... ἐγὼ τὸν Χριστόν μου ἔχω καὶ αὐτῷ προσφέρω θυσίαν». τότε θυμοῦ πλεισθεὶς ὁ βασιλεὺς ἐκέλευσε κλίβανον ἐκκαυθῆναι καὶ ἐπιτεθῆναι λέβητα καὶ ἐν αὐτῷ μόλυβδον βληθῆναι καὶ ῥητίνην καὶ πίσσαν. οἱ δὲ ὑπηρέται ἐποίησαν καθὼς αὐτοῖς προσέταξεν ὁ βασιλεὺς καὶ ἐνέβαλον τὸν ἀθλητὴν τοῦ Χριστοῦ ἐν αὐτῷ. ὁ δὲ βασιλεὺς εἶπε τῷ ἁγίῳ· « ἀρτίως ἀνάμενε, ἐὰν ὁ θεός σου ῥύσεταί σε ἐκ τῶν χειρῶν μου ». ῥιπτόμενος δὲ ὁ μακάριος Βῖτος εἰς τὸν λέβητα, ἐποίησε τοῦ σταυροῦ τὸν τύπον ἐν ἑαυτῷ καὶ παραχρῆμα ἄγγελος κυρίου κατελθών, κατέπαυσε τὸν θυμὸν τοῦ λέβητος. ὁ δὲ ἅγιος μέσον τοῦ λέβητος σὺν τῷ Μοδέστῳ ἑστώς, τῷ θεῷ τὸν ὕμνον ἀνέπεμπεν.....

201-208 *ibid.*, f. 286: τότε ὁ βασιλεὺς ἐκέλευσε λέοντα παμμεγεθέστατον φοβερὸν πάνυ ἀπολυθῆναι αὐτῷ, καὶ λέγει τῷ ἁγίῳ· « μὴν καὶ τούτου αἱ μαγεῖαί σου περιγένονται; ». ὁ ἅγιος Βῖτος εἶπεν· « ἀνόητε καὶ ἄφρον, ὁ Χριστὸς μετ' ἐμοῦ ἐστιν, ὁ ῥυόμενός

190-192 Cfr. Dan, 3,49 ss. 193 Zach. 4,2

205 ἅγιε, κεκτημένος,
ὅνπερ ἐκήρυξας
καὶ ἐν παρρησίᾳ ἐναθλῶν,
Βῖτε μακάριε.

Τὸ πρὶν Μωσῆς μὲν ἀεὶ ἀκήκοε
210 θεοῦ, φησίν,
εἰς ὄρος ἀνελθών· τελευταῖον δέ,
εἰληφὼς δὲ πεῖράν σου βασάνων πολλῶν,
ᾧ ἠρετίσω τόπῳ
χρηματισθείς, σοφέ,
215 καὶ θεοῦ εἰς χεῖρας τὴν ψυχήν,
Βῖτε, παρέθηκας.

Ὡς φῶς ἡ μνήμη σου ἀνατείλασα,
Βῖτε σοφέ,
Μοδέστον, Κρισκεντίαν, συνάθλους τοὺς σοὺς
220 εὐσεβῶς προτρέπεται ὑμνῆσαι σὺν σοὶ
τοὺς ἐκτελοῦντας ταύτην,
πίστει φωτίζουσα
καὶ καθαγιάζουσα ἀεὶ
τούς σοι προστρέχοντας.

---

207 ἐν] ἐκ Vb 211-212 ἀνελθὼν usque ad πεῖραν] ἀνὰ βηθὴ εκᾶ καὶ τελευτά εἴληφας δεσπίραν Vb 215 καὶ εἰς θεοῦ χεῖρας A 223 καὶ usque ad ἀεὶ] καὶ καθοδηγεῖ πρὸς τὴν ζωὴν A

με ἐκ τῶν χειρῶν σου ». ὅταν οὖν ἀπελύθη ὁ λέων, τὸ σημεῖον τοῦ σταυροῦ ποιήσας ὁ ἅγιος κατ' αὐτοῦ, τὸν θυμὸν αὐτοῦ κατεπράϋνεν, καὶ πεσὼν ἔμπροσθεν αὐτοῦ, ἐξέλειχε τοὺς ἱδρῶτας τῶν τιμίων αὐτοῦ ποδῶν ..... || (f. 286v) ὁ βασιλεὺς ἐκέλευσε τοῖς ὑπηρέταις αὐτοῦ ἑτοιμάσαι σκεύη τινὶ διὰ μαγγάνῳ, ἵνα ἐν αὐτῷ ἀναρτήσῃ τοὺς δούλους τοῦ θεοῦ.....

212-215 *ibid.*, f. 286v: ὀδυνώμενοι δὲ οἱ ἅγιοι ἐν τῷ μαγγάνῳ, ἀτενίσας εἰς τὸν οὐρανὸν ὁ ἅγιος Βῖτος ἐβόα πρὸς κύριον λέγων· « κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ῥῦσαι ἡμᾶς ἐκ τῆς ἀνάγκης ταύτης »..... τότε ἄγγελος κυρίου καταβάς, ἐξείλατο αὐτοὺς ἀπὸ τοῦ μαγγάνου καὶ παραχρῆμα ηὑρέθησαν πλησίον τοῦ ποταμοῦ οὗ ἦσαν τὸ πρότερον καὶ ἀνεπαύσαντο ὑποκάτω δένδρου, ἐπικαλούμενοι τὸν θεὸν καὶ λέγοντες· « κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ θεοῦ τοῦ ζῶντος, παράλαβε πρὸς σὲ τὰς ψυχὰς ἡμῶν » ..... καὶ εὐθέως ἀπέδωκαν ἐν εἰρήνῃ τὰς ψυχάς.

209-211 Ex. 3,1 ss.

θεοτ. 225 * Νεκροῖς ἀνάστασις νῦν δεδώρηται
διὰ τῆς σῆς
ἀφράστου καὶ ἀρρήτου κυήσεως,
θεοτόκε πάνσεπτε· ζωὴ γὰρ ἐκ σοῦ
σάρκα περικειμένη
230 πᾶσιν ἐξέλαμψεν,
καὶ τὸ τοῦ θανάτου ἀμειδὲς
σαφῶς διέλυσεν.

225-232 θεοτ. PaR 466 228 πάνσεπτε] πάναγνε PaR ζωὴν cdd.

IN SANCTUM TYCHONEM THAUMATURGUM EPISCOPUM AMATHUNTIS IN CYPRO INSULA

Synaxarium 751-754: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τύχωνος ἐπισκόπου Ἀμαθούντων πόλεως τῆς Κύπρου. Οὗτος εὐσεβεῖς ἔχων καὶ φιλοχρίστους τὸ κατὰ σάρκα πατέρας, ἀφιερώθη τῷ Θεῷ παρ᾽ αὐτῶν· καὶ τὰ ἱερὰ μεμαθηκὼς γράμματα καὶ ταῖς γραφαῖς ἱκανῶς ἐμμελετήσας, παρὰ Μνημονίου τοῦ ἐπισκόπου χειροτονεῖται διάκονος· ἐκείνου δὲ τὸν βίον ἀπολιπόντος, αὐτὸς εἰς τὸν τῆς ἐπισκοπῆς ἀνάγεται θρόνον παρὰ τοῦ μεγάλου Ἐπιφανίου. Ἐπιστρέψας ⟨δὲ⟩ πολλοὺς ἀπὸ τῆς τῶν εἰδώλων πλάνης πρὸς τὴν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστιν καὶ πολλοὺς ναοὺς εἰδωλικοὺς καθελὼν καὶ τὰ ἐν αὐτοῖς εἴδωλα συντρίψας, πρὸς Κύριον μετετέθη, θαυματουργίας πλείστας καὶ ἔτι τῷ βίῳ περιὼν καὶ μετὰ τὴν τελευτὴν ἐργασάμενος· ὧν ἓν ἢ δύο δείγματα τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἐκθέσθαι ἐπάξιον. Ὁ πατὴρ αὐτοῦ ἀρτοποιὸς ὑπάρχων ἐπέτρεψεν αὐτῷ ἔτι νηπίῳ ὄντι πιπράσκειν τοὺς ἄρτους· αὐτὸς δὲ τὴν τιμὴν τῶν πιπρασκομένων ἐδίδου πτωχοῖς. Αἰσθομένου δὲ τοῦ πατρὸς καὶ χαλεπῶς φέροντος — καὶ γὰρ ἦν αὐτῷ ἐκ τῆς τοιαύτης ἐργασίας ἡ τοῦ βίου παρασκευή —, τῷ Θεῷ τοὺς ἄρτους ἔφη δανείζειν καὶ γραμματεῖον παρ᾽ αὐτοῦ παρέχειν τῆς ἀπολήψεως. Καὶ εὐθὺς τῶν λόγων ἐναργὴς παρίστατο ἡ ἀπόδειξις, τῶν σιτοδοχείων μᾶλλον εὑρεθέντων πλήρης ἢ ὅτε τὴν συγκομιδὴν τοῦ σίτου πρὸ τῆς ὁπωσοῦν ἐξαγωγῆς ὁ πατὴρ ἐποιήσατο. Καὶ τοῦτο μὲν τοσοῦτον ὂν ὅμως ἔχει λόγον τινὰ τὸ καὶ ἑτέρους τοιοῦτον πεποιηκέναι, καὶ ὡς ἂν τὸ τῆς εὐποιΐας εἴη δαψιλὲς τοῦ Θεοῦ τὸν σῖτον ἐπιμετροῦντος καὶ ἐπιβάλλοντος. Ἐκεῖνο δὲ προφανῶς εἰς δόξαν αὐτοῦ καὶ αἰτίαν ἢ σύγκρισιν μὴ δεχόμενον τὸ τὴν ξηρὰν κληματίδα τῇ γῇ τὸν ἅγιον παραθέμενον εὐθὺς ῥιζωθῆναι, εἶτα βλαστῆσαι καὶ πρὸ καιροῦ· ποῦ γὰρ κατὰ τὴν ἑξκαιδεκάτην τοῦ ἰουνίου μηνός, ἐν ᾗ ἡ τοῦ ἁγίου μνήμη τελεῖται, ὥριμος βότρυς; Ἡ δὲ τέως τῷ καιρῷ προσφόρως ἔχουσα τοὺς καρποὺς τῆς θείας λειτουργίας ἀρχομένης περκάζοντας ἀποδείκνυσι, τελειουμένης δὲ τῆς θείας θυσίας, πεπείρους καὶ τελεσφόρους καὶ εὐχρήστους πρὸς τὴν μετάληψιν.

Matrit. gr. 4694 = A, ff. 35v-37v
Paris. gr. 1566 = Pw, ff. 139v-142
Sinait. gr. 620 = Σγ, ff. 82-83v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Θεοῦ τύχοιμι σαῖς δεήσεσιν, Τύχων.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις⟩· Θεοφάνους.

Ἦχος πλ. δ΄.

ᾠδὴ α΄. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

* Θεωριῶν τῶν ὑπὲρ νοῦν πληρούμενος,
Τύχων μακάριε,
καὶ τῆς αὐτόθεν θείας
αἴγλης ἐμφορούμενος,
5 μετάδος τοῖς ὑμνοῦσί σε
τὴν τῆς χάριτος χύσιν,
δι᾽ ἧς ὀφθείημεν ἄξιοι
σοῦ τὰς ἀρετὰς διηγήσασθαι.

* Ἐπιλαβόμενος ὁδοῦ τῆς κρείττονος
10 ἐκ βρέφους, ἅπασαν
προγονικὴν ὕλην
ὥσπερ χοῦν παρέδραμες
καὶ πένησι δωρούμενος,
τὴν ἀντάμειψιν εὗρες
15 μυριοπλάσιον, ῥήμασιν,
μάκαρ, πειθαρχῶν τοῦ κυρίου σου.

Canonem edidit S. Eustratiadis (cfr. commentarium), cuius editionis varias lectiones litteris « *eu* » indicamus
tit. acrostichidem et nomen auctoris om. in rubrica A ὁ κανὼν ἦχος πλ. δ΄ φέρων ἀκροστιχίδα τήνδε· θεοῦ τύχοιμι σαῖς δεήσεσιν δεήσεσιν (sic) τύχων :~ χωρὶς θεοτοκίων Pw, qui in margine sigla Θεοφάνους add. acrostichis, quam Pw integram refert, ode β΄ elapsa, sic ex tropariis deducitur: Θεο. . . χοιμι σαῖς δεήσεσιν, Τύχων et ex theotokiis Θ. οφάνους
amisso folio deest initium canonis usque ad v. 93 in Σγ
heirm. α΄ EE 219, n. 314, Joannis 8 ταῖς ἀρεταῖς A 15 ῥήματι Pw *eu*

9-16 cfr. H. USENER, *Sonderbare Heiligen, I. Der heilige Tychon* (Leipzig 1907), 150 s. (*Βίος καὶ πολιτεία ἐν ἐπιτόμῳ*), ubi, post miraculum panis (cfr. Synax.), haec referuntur: Καὶ δὴ τοῦ πατρὸς ἀποβιώσαντος αὐτὸς μετὰ τῆς μητρὸς ἐγκαταλειφθεὶς πάντα τὰ προσόντα αὐτῷ διαπωλεῖ καὶ πτωχοῖς || (151) διανέμει, καὶ τῷ ζυγῷ τοῦ Χριστοῦ ἑαυτὸν καθυποβάλλει τῶν τοῦ κόσμου φροντίδων ἑαυτὸν ἐλευθερώσας.

13-16 Matth. 19,21; Marc. 10,21; Luc. 18, 22

* Ὁ ἐν ὑψίστοις ἐπαναπαυόμενος
καὶ τὴν καρδίαν τὴν σὴν
τῶν ἀρετῶν οἶκον
20 εὑρηκὼς ἐσκήνωσε
καὶ σοὶ ἐπανεπαύσατο·
σὺν πατρὶ γάρ, ὡς ἔφη,
μονὴν παρά σοι πεποίηται
προκεκαθαρμένῳ τῷ πνεύματι.

θεοτ. 25 * Θεὸς ἀνθρώποις ἐκ γαστρός σου, πάναγνε,
παρθενικῆς προελθὼν
ὁμοιωθεὶς ὤφθη,
καὶ παρθένον πάλιν σε
μετὰ τὸν τόκον ἔσωσεν·
30 τὴν δὲ φύσιν θεώσας,
τὸ καθ' ὁμοίωσιν ἔμπαλιν
δέδωκεν ἀρχαῖον ἀξίωμα.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς τοὺς οὐρανοὺς ἐν συνέσει*

* Χρυσὸν καὶ ἄργυρον ὡς γῆν
τὴν πατουμένην ἡγήσω
35 καὶ ὡς σκύβαλα τοῦ κόσμου τὴν δόξαν·
ἀκλινῶς γάρ σου τὸν νοῦν
ἀνῆψας πρὸς τὰ ἄφθαρτα,
ὧν καὶ τυχὼν εὐφραίνῃ,
Τύχων θεόφρον πανόλβιε.

---

heirm. γ' EE 219, n. 314, Joannis

33-37 *ibid.* 133 (*Vita auctore Joanne Eleemosynario*): διὰ τοῦτο ξένους ἑαυτοὺς τῶν ἐν βίῳ τερπνῶν καὶ παρεπιδήμους ἡγήμεθα, ἵνα μὴ ξένοι τε καὶ ἀλλότριοι τῶν μετὰ τὴν ἐνθάδε ζωὴν μελλόντων ἀγαθῶν χρηματίσοιμεν· ...... διὰ τοῦτο ἑαυτοὺς ἐταπεινώσαμεν, ἵν' ἐκείνου τοῦ ὕψους μετάσχοιμεν· διὰ τοῦτο ἀκτημοσύνην ἐστέρξαμεν, ἵν' ἐκεῖ τὸν ἐκεῖ πλοῦτον κτησώμεθα· ἐκεῖ γὰρ ὄντως καθέστηκε τὰ πασῶν ἀρετῶν διαδήματα· ἐκεῖ τεθησαύρισται τὰ τῆς σπουδαίας ζωῆς ἀξιώματα καὶ τῶν ἐναρέτως βιούντων οἱ μὴ θνήσκοντες ἔπαινοι.

22-23 Joh. 14,23 31 Gen. 1,27; Jac. ep. 3,9 33-34 Cfr. Matth. 10,9 35 Philip. 3,8

40 * Ὅπως τῆς κρείττονος ζωῆς
καὶ δι' αἰῶνος μενούσης
ἐπιτύχῃς, ἱερώτατε Τύχων,
κατεφρόνεις τῆς ζωῆς
τῆς ἐπικήρου, μάρτυρα
45 τῇ προαιρέσει πᾶσιν
ἔργῳ σαυτὸν παρεχόμενος.

* Ἵστασο βήματος ποτὲ
τυραννικοῦ, προθεσπίζων
βασιλέα τὸν Χριστὸν παρρησίᾳ,
50 οὐ πτοούμενος πληγάς,
οὐ θάνατον, θεσπέσιε,
καὶ τοὺς ἐχθροὺς ὀπίσω
τῶν σῶν ῥημάτων ἠγκίστρευσας.

θεοτ. * Οὐκ ἀπηξίωσας, Χριστέ,
55 φορέσαι τὸν ἀπωσμένον
f. 36 καὶ μακράν ‖ σου γεγονότα τῇ ἁμαρτίᾳ,
ἀλλ' ἐκ μήτρας προσλαβὼν
παρθένου τὴν πτωχείαν μου,
θεοποιεῖς καὶ σῴζεις
60 διὰ πολλὴν ἀγαθότητα.

---

53 ἠγκύστρευσας *eu* 57 προλαβὼν *eu*

40-44 *ibid.*, 136: διὸ καὶ τὴν τελευταίαν ταύτην ὑμῖν διδασκαλίαν ποιούμενος, παραινῶ τῆς μὲν τῶν προσκαίρων ἐπιθυμίας ἀπέχεσθαι, τῆς δὲ τῶν αἰωνίων ἐπιτυχίας ὀρέγεσθαι.....

47-49 *ibid.*, 152 (*Βίος καὶ πολιτεία ἐν ἐπιτόμῳ*): Καλύκιος δὲ καὶ Κλεοπάτρα τὴν θρησκείαν Ἕλληνες ὄντες ἄδικον γραφὴν κατὰ τοῦ ἁγίου ποιήσαντες τῷ ἄρχοντι ἐπιδεδώκεισαν, ἥτις περιεῖχεν ὡς ὅτι καὶ τὸ εἴδωλον τὸ λεγόμενον θεὸν αὐτῶν συνέτριψεν ..... καὶ ἕτερα πλείονα κατ' αὐτοῦ συνέγραψαν. ἅπερ ἀναγνόντες οἱ Ἕλληνες τῷ ἄρχοντι τὸν ἅγιον παρέστησαν. ὁ δὲ θαρρῶν τῇ πίστει τοῦ Χριστοῦ ἐξέθετο αὐτοῖς θαρσαλέως τὸν τοῦ ἁγίου εὐαγγελίου λόγον, στηλιτεύσας τῶν εἰδώλων τὰς ἀκαθαρσίας.

50-51 *ibid.*, 116 (*Vita a. Joanne Eleemosynario*): διὰ τοῦτο τοίνυν καὶ ἡμεῖς ..... παρακαλοῦντες πάντα ἄνθρωπον ἐν Χριστῷ μέχρι κατὰ τὸν βίον τοῦτον ἐσμὲν οὐ παυσόμεθα, κἂν ἕως θανάτου καὶ ἡμεῖς κινδυνεύσοιμεν .....

52-53 *ibid.*, 118: Σὺν προσεχείᾳ δὲ πολλῇ καὶ νοῦ νηφαλιότητι τῶν τοῦ δικαίου φωνῶν ὁ ἡγεμὼν ἀκροασάμενος, ... ἐντίμως τε ἅμα καὶ εἰρηναίως (Tychonem) προέπεμψεν· τοσοῦτον αὐτοῦ φῶς τὴν ψυχὴν περιήστραψε καὶ γνῶσις ἀληθείας ἐπέδραμε τῆς τοῦ ἁγίου διδασκαλίας ἀκούσαντος. τῶν δὲ κατηγόρων τὸν ἑσμὸν ὡς ἀνδρὸς τηλικούτου κατηγορῆσαι τολμήσαντας σὺν ἀτιμίᾳ πλείστῃ καὶ ὕβρεσι δικαστικῶν βημάτων ἐξήλασεν.

Κάθισμα

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

* Τυχεῖν ἐφιέμενος
τῆς αἰωνίου ζωῆς,
παθῶν ἀπεκάθηρας
τὴν σὴν ψυχὴν ἀληθῶς,
5 θεόφρον πατὴρ ἡμῶν·
ὅθεν ἱερωσύνης
διαλάμψας ἀκτῖσιν,
χάριτας ἰαμάτων
ἀπαστράπτεις τοῖς πίστει
10 τῇ σκέπῃ σου προστρέχουσιν ἀεί,
Τύχων μακάριε.

ᾠδὴ δ'. *Σύ μου ἰσχύς,*
κύριε, σύ μου καὶ δύναμις

* Μεταλαβών,
μάκαρ, ἰσχύος τοῦ πνεύματος,

---

heirm. κάθ. HR 63   pro hoc alterum κάθ. praebet Pw (utrumque κάθ. ante canonem refert Σγ, f. 81v, *eu* pp. 151-152):

Κάθισμα. Ἦχος δ'. *Κατεπλάγη Ἰωσὴφ*

* Τῆς ἀμπέλου ἀληθῶς
τῆς νοητῆς κλῆμα ὀφθείς,
ἐγεώργησας ἡμῖν
οἶνον θαυμάτων δαψιλῶς
5 πάντων καρδίας εὐφραίνοντα, θεοφόρε,
εὐχῇ δὲ ἐκτενεῖ
ἀμπέλου βότρυας
περκάζειν ἐν τῇ σῇ
μνήμῃ εἰς δόξαν θεοῦ
10 παρασκευάζεις, Τύχων ἱεράρχα,
περιφανῶς κλεϊζόμενος·
διό σε πίστει
ἀνευφημοῦμεν,
πάτερ θεομακάριστε.

post κάθ. add. Pw θεοτ. Κατεπλάγη Ἰωσήφ, MR III, 388
heirm. δ' EE 219, n. 314, Joannis   heirm. 1 ἰσχύς] Χριστὲ EE Pw *eu*
2 κύριε] κύριος EE Pw *eu*

ἀηττήτως
ὤφθης ἀκατάπληκτος,
65 ἐπιρρωννὺς
οἷα στρατηγὸς
τοὺς συστρατιώτας
καὶ πρὸς ὁρμὴν ἐκκαλούμενος·
διὸ καὶ ἀναιμάκτως
70 σοῦ τὸ τρόπαιον στήσας,
μαρτυρίου τὸ στέφος ἀπείληφας.

* Ἱερωθείς,
Τύχων, θεῷ καὶ τελούμενος
ἱερέων
75 νόμοις, πεπολίτευσαι
οὐ μισθωτὸς
οἷά περ ποιμήν,
ἀλλ' ὑπὲρ τῆς ποίμνης
ψυχὴν τὴν σὴν προϊέμενος·
80 διὸ τοὺς λύκους κτείνας
πρὸς νομὴν ζωηφόρον
τοῦ Χριστοῦ καθωδήγεις τὸ ποίμνιον.

* Σοῦ τὸ σεπτὸν
ὄντως γεραίρει μνημόσυνον
85 ἡ Κυπρίων
νῆσος, συγχορεύουσα
πάσῃ τῇ γῇ
καὶ τὴν ἐν αὐτῇ
χύσιν τῶν θαυμάτων
90 διηγουμένη, προτίθησι

88-89 καὶ usque ad χύσιν] σοῦ τῇ δαψιλῇ / χύσει A   ex v. 94 auxilio quoque cd. Σγ utimur

---

69-71 *ibid.*, 118: Ἀλλ' ἦν ἀλλ' οὐδ' αὕτη πάλιν ἡ πάλη τῷ Τύχωνι ἀκερδὴς ἢ ἀνόνητος ἢ οὐ μέγαν τε καὶ λαμπρὸν τὸν στέφανον φέρουσα.
75-82 *ibid.*, 119: Οὕτως ἀεὶ διάγων ὁ ἅγιος καὶ καθ' ἑκάστην ἡμέραν τοῦ σωτῆρος αὔξων τὸ ποίμνιον καὶ πῖόν τε καὶ εὐτραφὲς ταῖς πνευματικαῖς καὶ πλουσίαις τροφαῖς ἐργαζόμενος .....

75-82 Joh. 10,11-17

πρὸς θέαν νῦν εἰσέτι
τοῖς ὁρᾶν βουλομένοις
τοῦ φυτοῦ τὴν παράδοξον βλάστησιν.

θεοτ. * Φῶς ἐκ φωτὸς
95 λάμψας ἀχρόνως, υἱὲ τοῦ πατρός,
ἐπ' ἐσχάτων
μήτρας προελήλυθας
παρθενικῆς,
ὅλον τὸν Ἀδὰμ
100 πάλαι νεκρωθέντα
ἐν ἑαυτῷ ἀνορθούμενος·
διό σου τὴν μητέρα
θεοτόκον κυρίως
εὐσεβοῦντες πιστοὶ καταγγέλλομεν.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

105 * Ἀληθοῦς θεωρίας,
ἔνδοξε, γενόμενος, Τύχων, ἀνάπλεως,
τῆς κενῆς σοφίας
f. 36v τοὺς ἐρῶντας τὴν λοίμην διήλεγ‖χες,
τῶν δαιμόνων πλάνην
110 ἀποβαλών,
τοὺς μύθους πάντας
καὶ τὰ Κύπριδος ἔργα τὰ ἄθεσμα.

* Ἱερῶς διαπρέπων
καὶ τοῖς ὑπὲρ ἔννοιαν ἔργοις τελούμενος,

---

heirm. ε' EE 219, n. 314, Joannis   107 καινῆς A Σγ   108 λύμην Σγ *eu*

107-112, 118-120 *ibid.*, 151 (*Βίος καὶ πολιτεία ἐν ἐπιτόμῳ*): τοὺς οὖν Ἕλληνας τελειοτέρως ἀπέστρεφεν ἐκ τῆς τῶν εἰδώλων θρησκείας καὶ προσῳκείου τῷ Χριστῷ. τινῶν δὲ ἐμμενόντων τῇ πλάνῃ καὶ ἐν τῷ ναῷ τῶν εἰδώλων θυσίας ἐπιβωμίους ποιούντων εἰσελθὼν ὁ ἅγιος καὶ δυναμωθεὶς παρὰ τοῦ θεοῦ τὰ βδελύγματα αὐτῶν κατέστρεψεν ..... τὸ οὖν εἴδωλον τῆς Κύπριδος οἱ Ἕλληνες ἄραντες μετὰ λαμπάδων καὶ θυμιατηρίων, ἄνδρες τε καὶ γυναῖκες, διήρχοντο πλησίον τῆς ἁγίας ἐκκλησίας βακχεύοντες καὶ ὀρχούμενοι· οὓς καὶ κατανοήσας ὁ ἅγιος Τύχων, ἐξελθὼν μετὰ τοῦ κλήρου τὸ μὲν εἴδωλον ἐλέπτυνεν αὐτούς τε κατῄσχυνεν τὴν πλάνην αὐτῶν στηλιτεύσας .....

115 πανιέρῳ τρόπῳ
τῇ τραπέζῃ τῇ θείᾳ παρίστασο
τοῦ Χριστοῦ· διόπερ
δαιμονικά,
θεόφρον Τύχων,
120 ταῖς εὐχαῖς σου τεμένη κατέστρεψας.

Σταυρωθεὶς κατὰ Παῦλον
κόσμῳ καὶ τὸν κόσμον σταυρώσας, πανόλβιε,
σεαυτῷ, οὐκ ἔζης
τῇ σαρκί, τῷ θεῷ δὲ καὶ πνεύματι,
125 θεοφόρε Τύχων·
διό, τυχὼν
ὧν ἐπεπόθεις,
καὶ ἡμῶν τῶν σῶν δούλων μνημόνευε.

θεοτ. * Ἀπειρόγαμος ὤφθης
130 μήτηρ, τὸ καινότατον ὑπὸ τὸν ἥλιον·
τίς γὰρ ἐξ αἰῶνος
ἀκηκόει παρθένον θηλάζουσαν;
ἐπὶ σοὶ δὲ πάντα
θεοπρεπῶς,
135 παρθενομῆτορ,
ἐκαινίσθη τεκούσῃ τὸν κτίστην σου.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

* Δαιμόνων σμήνη τῆς σῆς
ἐλαύνων ποίμνης, θεσπέσιε,
καὶ τῶν εἰδώλων σοβῶν
140 πλάνην τὴν πολύθεον,
φοβερὸς ἐδείκνυσο

---

115 πανιέρως Pw   121-128 troparium om. *eu*   130 μήτερ *eu* ὑπὸ] ὑπὲρ A   132 ἠκηκόει Σγ   133 δὲ] γὰρ Σγ
heirm. ς' EE 220, n. 315, Joannis   137 σμήνην A   σμίνην Σγ

121-123 Gal. 6,14

τοῖς ὑπεναντίοις,
θεορρῆμον Τύχων πάνσοφε.

* Ἐδόξασέ σε θεός,
145 ὁ διὰ σοῦ δοξαζόμενος,
ἐν τέρασι φοβερόν,
ἐν θαύμασι μέγιστον,
ἡμῖν δωρησάμενος,
θεοφόρε Τύχων,
150 τοῖς πιστῶς σε μακαρίζουσιν.

* Ἡγίασάς σου, σοφέ,
καὶ ζῶν τὸ τίμιον ἔδαφος
καὶ μετελθὼν ἀπ' αὐτοῦ
πρὸς λῆξιν οὐράνιον,
155 θαύμασιν ἐδόξασας
παραδόξοις, Τύχων,
τοῦ δεσπότου φίλε γνήσιε.

θεοτ. * Νεκρώσεώς μοι καρπὸν
ὁ πάλαι φύει παράδεισος,
160 ζωῆς δὲ σὺ τὸν καρπόν,
ὁ θεῖος παράδεισος,
θεοτόκε, ἤνθησας,
οὗ τρυφῶν οὐκ ἔτι
τῷ θανάτῳ δουλωθήσομαι.

ᾠδὴ ζ'. *Τῶν Χαλδαίων ἡ κάμινος*

165 * Στόμα θεῖον γενόμενος,
βροτοὺς ἐξ ἀναξίων
σὺ ἀξίους ἐτέλεσας,

---

vv. 160-161 in contextu orationis, homoeoteleuti causa, om. Pw, qui autem in inferiori margine versus reponit 163 οὐκέτι *eu*
heirm ζ' EE 228, n. 327, Andreae 167 ἀξίως Pw

---

158 s. Gen. 3,2 ss.

πολυθαύμαστε Τύχων·
διό σε τοῖς θαύμασι
f. 37 170 καὶ ‖ μετὰ τέλος θεὸς
ὄντως ἐδόξασεν.

* Ἐν ἐφέσει γενόμενος
τῶν ἐκεῖθεν ἐλπίδων,
πᾶσαν κόσμου προσπάθειαν
175 ἐμφρόνως ἀπηρνήσω·
διὸ καὶ προήγγειλας
οἷα προφήτης, σοφὲ
Τύχων, τὴν σὴν τελευτήν.

* Συνελθόντες, φιλέορτοι,
180 μυστικαῖς θεωρίαις,
τὴν Κυπρίων διέλθωμεν
καὶ φυτοῦ γεωργίαν
παράδοξον ἴδωμεν,
ἐξ οὗ ὁ κόσμος τρυγᾷ
185 γλεῦκος σωτήριον.

θεοτ. * Ὁ καρπὸς τῆς κοιλίας σου,
θεοτόκε παρθένε,
τοῖς ἐκείνου μετέχουσιν
ἀθανασίαν βρύει·
190 τὸ τῆς Εὔας ὄφλημα
σὺ γὰρ ἀπήτησας,
θεὸν κυήσασα.

---

169 διό σεσε τοῖς θαῦσι Pw 170 τέλους A 172 littera initialis troparii Ἡ apparet in Pw 178 τελετὴν *eu* 181 τὴν] τῶν A 192 ἡ κυήσασα *eu*

176-178 *ibid.*, 119 (*Vita a. Joanne Eleemosynario*): ..... θεόθεν τὴν πρόγνωσιν δέχεται τῆς οἰκείας πρὸς οὐρανὸν μεταθέσεως. ἣν φανερῶς ἐξειπεῖν τὸ παράπαν οὐκ ἠθέλησεν, ἵνα μὴ λύπην ἀφόρητον καὶ θρῆνον πρόωρον δῷ τοῖς ἀκούουσι..... διὰ τοῦτο ταύτην αἰνιγματωδῶς προεφήτευσεν, καὶ εἰρηκὼς ἦν ὡς οὐ φάμενος. εἴρηκε μὲν γάρ, ἵνα μετὰ τελευτὴν μνησθέντες ὧν εἴρηκεν μάθωσιν ὡς προφητεύων προείρηκεν. κεκαλυμμένως δὲ ταύτην ἠγόρευσεν, ἵνα μηδαμῶς τοῖς ἀκούουσι καὶ πρὸ τοῦ πράγματος πένθος ἐργάσοιτο. Cfr. etiam in hoc volumine commentarium pp. 351-352.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

* Ἱερωτέραν ὕφανας
τὴν στολήν σου, πανόλβιε
195 Τύχων, ἀρετῶν καταγλαΐσας κάλλεσιν·
διὸ καὶ τὴν ἔμφασιν
ὡς ἐξ ἐφοὺδ μυούμενος,
σοῦ τὴν τελευτὴν τοῖς περὶ σὲ προαγγέλλων,
δοξάζειν τὸν σωτῆρα
200 παρεσκεύαζες, μάκαρ,
« Χριστὸν ὑπερυψοῦτε »,
βοῶν, « εἰς τοὺς αἰῶνας ».

* Νόμου σαρκὸς λαθόμενος,
ὡς ἀσώματος ἔτρεχες
205 ἔνθα τὸ βραβεῖόν σοι τῆς ἄνω κλήσεως,
θεόφρον, ἡτοίμαστο·
οὐ γὰρ σαρκὶ καὶ αἵματι,
Τύχων, προσανέθου βιοτεύειν· διόπερ
τὰ κάλλη κατοπτεύεις
210 τῆς Χριστοῦ βασιλείας,
αὐτῷ συμβασιλεύων
εἰς πάντας τοὺς αἰῶνας.

* Τροπαιοφόρος γέγονας
κατὰ πάντων ἐχθρῶν τοῦ Χριστοῦ
215 τῷ τοῦ συνειδότος μαρτυρίῳ χρώμενος
καὶ γνώμῃ θυόμενος
ἐθελουσίῳ, Τύχων σοφέ·
πάντων γὰρ τυράννων ἐναντίον ἐβόας·
« Χριστὸς θεὸς ὑπάρχει
220 καὶ θεῶν ψευδωνύμων
ἡ μνήμη ἀπολέσθω
εἰς πάντας τοὺς αἰῶνας ».

---

heirm. η' EE 219, n. 314, Joannis 195 κάλλεσιν] χάρισιν Σγ 202 v. om. Pw βοῶν εἰς] εἰς πάντας Σγ *eu* τοὺς αἰῶνας om. Σγ 203 Νόμους Σγ 205 σὺ A 206 ἡτοίμασται Σγ 208 προανέθου Pw *eu* 212 τοὺς αἰῶνας om. Pw 215 μαρτυρίου A 217 ἐθελουσίως A 218 ἐναντίων cdd. 222 τοὺς αἰῶνας om. cdd.

196-198 Cfr. notas ad vv. 176-178

---

197 Cfr. Ex. 28,6

θεοτ. * Ὑπεραγία δέσποινα,
ἡ τοῦ κόσμου βοήθεια,
225 τὸ τῶν θλιβομένων κραταιὸν προσφύγιον,
ἡ μόνη ἀντίληψις
τῶν ἐν ἀνάγκαις δούλων σου,
σὴν κληρονομίαν ἐξελοῦ τῶν κινδύνων
καὶ θλίψεων ποικίλων,
230 ἵνα πίστει βοῶμεν·
« χαῖρε, ἡ τοῦ κόσμου
χαρὰ καὶ σωτηρία ».

f. 37v ‖ ᾠδὴ θ'. *Ἔφριξε πᾶσα ἀκοὴ*

* Ὕμνον σοι,
Τύχων, ἱερὸν
235 ἐκ χειλέων ἀναξίων φερόμενον
προσδέχου, ἄμειψιν
ἁμαρτημάτων
διδοὺς τὴν λύτρωσιν
ταῖς προσευχαῖς σου πρὸς θεόν·
240 μεσίτην γὰρ ἅπαντες
σὲ προβαλλόμεθα,
οἱ τιμῶντές σου πιστῶς
τὰ μνημόσυνα.

* Χρῖσάν σε
245 πνεῦμα τὸ σεπτὸν
καὶ πανάγιον ἐλαίῳ, πανένδοξε,
ἀγαλλιάσεως,
χαρίτων πλήθεσι
κατεκόσμησε
250 καὶ βασιλεύειν σὺν αὐτῷ
ἐνδόξως ἠξίωσεν,
Τύχων πανίερε,

---

227 ἐν ἀνάγκαις] ἐνάγκαις A 228 τὴν κληρονομίαν σου ἐξελοῦ κινδύνων Σγ 231 χαῖρε, ἡ τοῦ κόσμου] λαὸς ὑπερυψοῦτε A, qui v. 232 om.
heirm. θ' EE 222, n. 317, Joannis

---

246 s. Ps. 44,8; Hebr. 1,9

ἱερέων καλλονὴ
καὶ τὸ καύχημα.

255 * Ὦ τῶν σῶν,
Τύχων ἱερέ,
καὶ χαρίτων καὶ θαυμάτων· οὐ σθένει γὰρ
ἐκδιηγήσασθαι
βροτεία γλῶσσα
260 τὸ θεωρούμενον·
ἐκ γὰρ ἀνίκμου σοι βλαστὸς
ἀμπέλου τὸ πρότερον
καὶ νῦν ἀθρόᾳ ῥοπῇ
παραδόξως γεωργεῖ
265 βότρυν πέπειρον.

* Νίκας μοι
κατὰ τῶν παθῶν
ταῖς πρεσβείαις σου χορήγησον, δέομαι,
καὶ καταξίωσον
270 τυχεῖν με, Τύχων,
φιλανθρωπίας θεοῦ,
τῶν ἀγαθῶν τε τῆς τρυφῆς
καὶ τῆς ὡραιότητος
καταπολαῦσαι αὐτοῦ,
275 τὸν ἐκ πόθου σε θερμῶς
μακαρίζοντα.

θεοτ. * Σῴζοις με,
μήτηρ τοῦ θεοῦ,
ἡ τῷ κόσμῳ σωτηρίαν γεννήσασα,
280 ταῖς ἱκεσίαις σου
ἐκ πολυτρόπων
ἐπεμβαινόντων μοι
καὶ πολυπλόκων πειρασμῶν·
εἰς σὲ τὰς ἐλπίδας γὰρ
285 τῆς σωτηρίας μου
ἀνατίθημι πιστῶς,
ὁ οἰκέτης σου.

---

255 Ὦ] Ὁ Pw 258 ἐκδικήσασθαι *eu* 277 Σῴζεις A *eu* 279 κυήσασα A 281 ἐκ πολυπλόκων Σγ, qui in textu om. et in margine add. ἐπεμβαινόντων μοι καὶ πολυπλόκων (vv. 282-283)

IN SS. MM. MANUELEM, SABELEM ET ISMAELEM

Synaxarium 753-754: Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων καὶ αὐταδέλφων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος, πατρὸς μὲν ἀρχιμάγου μητρὸς δὲ χριστιανῆς, διδαχθέντες τὴν εὐσέβειαν καὶ τὰ ἱερὰ γράμματα παρὰ Εὐνίκου τινὸς πρεσβυτέρου, ἀνδρὸς εὐλαβοῦς, ἀποσταλέντες δὲ παρὰ Βαλτάνου βασιλέως Περσῶν καὶ τὰ πρὸς εἰρήνην πρεσβεύοντες κατὰ τοὺς χρόνους Ἰουλιανοῦ τοῦ παραβάτου· ὃν θύοντα τοῖς εἰδώλοις ἐν τῷ εἰδωλείῳ, τῷ λεγομένῳ Τριγόνῳ, πέραν ἐν Χαλκηδόνι θεασάμενοι καὶ πολλοὺς τῇ αὐτοῦ πλάνῃ ὑπαγομένους, αὐτοὶ ὄντες θεοσεβεῖς καὶ τῷ Χριστῷ λατρεύοντες ὠλοφύροντο καὶ τὸν Χριστὸν καθικέτευον διαφυλαχθῆναι αὐτοὺς ἐν τῇ πίστει τῇ εἰς αὐτὸν καὶ μὴ κοινωνῆσαι τοῖς εἰδωλολάτραις τῆς πλάνης. Διαβληθέντες δὲ παρὰ Ἴνδικος κουβικουλαρίου καὶ ἀχθέντες τῷ δυσσεβεῖ Ἰουλιανῷ, τύπτονται καὶ ἥλοις περονοῦνται τοὺς ἀστραγάλους καὶ λαμπάσι πυρὸς τὰς μασχάλας καταφλέγονται. Καὶ ταῦτα μὲν κοινῇ. Ἰδίᾳ δὲ ὁ ἅγιος Μανουὴλ ὑποσχέσεις δεξάμενος παρὰ τοῦ μιαροῦ βασιλέως Ἰουλιανοῦ καὶ παραινέσεις καὶ μὴ πεισθεὶς θυσίας προσενεγκεῖν τοῖς εἰδώλοις, καθηλοῦται τὴν κεφαλὴν καὶ ἀμφότερα τὰ νῶτα καὶ καλάμοις εἰληθεὶς κατασφίγγεται καὶ ἑτέροις ὀξέσι κατακεντεῖται καὶ οὕτως ἅμα τοῖς δυσὶν αὐτοῦ ἀδελφοῖς Σαβὲλ καὶ Ἰσμαὴλ ἐν τῷ πρὸς Θρᾴκην τείχει, τῷ λεγομένῳ Κωνσταντίνου, ἐν τόπῳ κρημνώδει ἀπαχθεὶς σὺν αὐτοῖς τὴν κεφαλὴν ἀπετμήθη. Τοῦ δὲ παραβάτου προστάξαντος κατακαυθῆναι τὰ σώματα αὐτῶν, εὐθέως ἐσχίσθη ἡ γῆ καὶ ἐδέξατο τὰ λείψανα τῶν ἁγίων. Πολλοὶ δὲ ἐκ τοῦ τοιούτου θαύματος ἐπίστευσαν τῷ Χριστῷ. Μετὰ δὲ ταῦτά τινων εὐλαβῶν ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποκαλυφθέντων, ἐτάφησαν τὰ ἅγια λείψανα παρ' αὐτῶν μετὰ μύρων καὶ θυμιαμάτων. Ὁ δὲ παράνομος Ἰουλιανὸς τηνικαῦτα ὑποστρέφων ἐκ τοῦ κατὰ Περσῶν πολέμου, οὐρανίᾳ ἐπλήγη πληγῇ καὶ τῷ αἰωνίῳ πυρὶ παρεπέμφθη . . . .

Crypt. Δ.α. LXIII	= Dg,	ff. 51-55v	
Paris. gr. 1567	= Rb,	ff. 42v-44v	
Matrit. gr. 4694	= A,	ff. 38-40	
Paris. gr. 1569	= Rc,	ff. 113v-115	
Paris. gr. 245	= Px,	pp. 69-72	
Crypt. Δ.α. XXIII	= Cn,	ff. 37v-39	
Sinait. gr. 620	= Σγ,	ff. 86v-88v	
Bodl. gr. Lit. d. 8	= Ob,	ff. 132-134	

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Ἄισωμεν ᾆσμα πάντες τῷ κτίστῃ
καὶ παντοκράτορι θεῷ,
τῷ τοὺς ἀθλοφόρους ἐπαξίως τιμήσαντι,
τὸν ἔνδοξον Μανουὴλ
5 καὶ τοὺς συνάθλους αὐτοῦ εἰς τοὺς αἰῶνας.

Ἄισωμεν ἅπαντες τῷ κυρίῳ,
τῷ ἀνατείλαντι ἡμῖν
τρεῖς ἐκ θρυαλλίδος περσικῆς ἀθλητὰς φαεινούς,
τὸν ἔνδοξον Μανουὴλ
10 καὶ τοὺς συνάθλους αὐτοῦ καὶ συνεκδήμους.

Ἐκ μαγικῆς ἀτμίδος σπινθῆρας
ξένον θεάσασθε, πιστοί,
ἐν τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ ἀναλάμψαντας,
τὸν ἔνδοξον Μανουὴλ
15 καὶ οὓς συνῆψεν αὐτῷ ἡ θεία χάρις.

---

tit. in margine sigla Γερμανοῦ referunt Rb Rc ἀνδρέου τυφλοῦ praebet in rubrica Px

heirm. α' EE 229, n. 328, Germani, integrum referunt A Px 1-5 troparium om. A Rc 1 πάντες ᾆσμα Σγ vv. 2-5 pro vv. 7-10 et vv. 7-10 pro vv. 2-5 praebet Dg 6-10 om. Px Σγ troparium, pro quo simile praebet Cn troparium:

Δεῦτε δοξάσωμεν τὸν σωτῆρα,
τὸν ἀνατείλαντα ἡμῖν
τρεῖς ἐκ θρυαλλίδος περσικῆς φαεινοὺς ἀθλητάς,
τὸν ἔνδοξον Μανουὴλ (μανωὴλ cd.)
καὶ Ἰσμαὴλ καὶ Σαβὲλ εἰς τοὺς ⟨αἰῶνας⟩.

6 Ἄσωμεν ᾆσμα πάντες κυρίω Rb A Rc 8 περσικῆς] μυστικῆς Ob 10 καὶ οὓς συνήψεν αὐτῷ ἡ θεία χάρις Dg (cfr. v. 15) καὶ συνεκδήμους] εἰς τοὺς αἰῶνας A Rc 11-15 troparium om. Rb Rc: pro hoc Rb vv. 26-30 disponit 11 σπινθῆρες Cn 12 ξένους A Px Ob 13 τοῦ om. Dg τοῦ θεοῦ Σγ ἀναλάμποντας A Ob ἀναλάμψαντες Cn 15 καὶ usque ad χάρις] καὶ τοὺς συνάθλους αὐτοῦ καὶ συνεκδήμους A (cfr. v. 10) αὐτῷ om. Dg

Οἱ τὴν πατρῴαν πάλαι θρησκείαν
ἀποβαλόντες τοῦ πυρός,
f. 51v τὴν ἐκ τοῦ διώκοντος ὀργὴν ἐξεκρού||σαντο
καὶ γέγοναν ἀθληταὶ
20 τῆς ἐν τριάδι σεπτῆς ὁμολογίας.

Ἐκ βασιλέως γράμμα λαβόντες
οἱ ἐκ Περσίδος ἀθληταὶ
καὶ τὴν βασιλίδα μεγαλόπολιν φθάσαντες,
ἀνδρείως τῇ τοῦ Χριστοῦ
25 ἐστεφανώθησαν ὁμολογίᾳ.

Ὡς ἰσαρίθμιοι τῆς τριάδος
ὑπεραθλήσαντες αὐτῆς,
ἀξιοπρεπῶς ἐστεφανώθητε, μάρτυρες·
πρεσβεύσατε οὖν αὐτῇ
30 ῥυσθῆναι πάντας ἡμᾶς ἐκ τῶν κινδύνων.

θεοτ. Τῆς ἐκ παρθένου κυοφορίας
ὁ ὑπὲρ φύσιν τοκετὸς
ἔλαθε τὸν ἄρχοντα τοῦ σκότους, ὡς γέγραπται,
καὶ ἤνοιξε τὴν Ἐδὲμ
35 τοῖς θεοτόκον αὐτὴν ὁμολογοῦσιν.

16-20 troparium om. Cn Ob, post vv. 21-25 refert Σγ 17 ἀποβαλλόντες Px 18 ἀπεκρούσαντο Rc Px 19 γέγοναν] ὤφθησαν Σγ 21-25 troparium om. A Px Cn Ob 25 ἐστεφανώθησαν νῦν ὁμολογία Rc 26-30 troparium om. Px Cn Ob, iidem vv. in Rb munera obeunt tertii troparii pro vv. 11-15 26 ἰσάριθμοι Rb Rc Σγ 29 οὖν αὐτῇ] σὺν αὐτῶ Rc 31-35 pro hoc θεοτ. alterum refert Σγ:

Ἡ ἐν γαστρὶ συλλαβοῦσα
τὸν ἀπερίληπτον λόγον
καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον, παρθένε ἁγνή,
ἱκέτευε ἐκτενῶς
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

31 Τὴν ἐκ παρθένου κυοφορίαν Rc 35 τοὺς θεοτόκον αὐτὴν ὁμολογοῦντας Cn

---

21-23 AA.SS. Iunii III (1701), 291 A-B: Βαλτανοῦ βασιλεύοντος ἐν τῇ χώρᾳ τῶν Περσῶν, πολέμου μεγάλου κινηθέντος, ἐξέπεμψεν ὁ δυσσεβὴς Ἰουλιανὸς γράμματα πρὸς τὸν βασιλέα Βαλτανὸν ..... Ταῦτα τὰ γράμματα δεξάμενος ὁ βασιλεὺς Βαλτανὸς περὶ τοῦ δυσσεβοῦς Ἰουλιανοῦ, καὶ ἀναγνοὺς καὶ πεισθείς, ἀπέστειλε τῷ Ἰουλιανῷ πρὸς τὸ ἀσφάλειαν βεβαίαν γενέσθαι μεταξὺ αὐτῶν καὶ εἰρήνην οὕς τινας εἶχε θεράποντας αὐτῷ ὑπάρχοντας τοὺς μακαρίους τούτους καὶ ἁγίους μάρτυρας Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ, ...

ᾠδὴ β′. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑμῶν

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑμῶν,
ὁ ἐξανατείλας
ἐξ ἀτμίδος περσικῆς
40 τρεῖς ὁλολαμπεῖς τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ πυρσούς
καὶ τούτους στεφανηφόρους
ἀναδείξας ἀθλητὰς τῆς βασιλείας μου.

Ἔγνωμεν, ἔγνωμεν
ὅτι θεὸς ἡμῶν σὺ εἶ, κύριε,
45 ὁ τοὺς ἐξ ἑῴας
ἀστρολόγους τῶν Περσῶν
δείξας ἀθλητὰς θεολογοῦντας τὴν δόξαν σου
καὶ τούτους στεφανηφόρους
ἀναδείξας ἀθλητὰς τῆς βασιλείας σου.

50 Δεῦτε θεάσασθε
στάδιον σήμερον ἀξιύμνητον·
f. 52 ‖ Μανουὴλ ὁ μέγας
καὶ Σαβὲλ καὶ Ἰσμαήλ,

---

oden β′ om. A Rc Px Cn Ob

heirm. β′ EE 226, n. 323, Germani, ut εἱρμὸς ἄλλος refertur in Σγ, qui antea praebet heirm. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω,* EE 226, n. 324, Germani et troparia:

Πρόσεχε, οὐρανέ· φθέγξομαι γὰρ
θεοῦ θαυμάσια
καὶ τῶν ἁγίων μαρτύρων
τοὺς ἄθλους ἀναβοήσω λαμπρῶς.
5 Ὁμόδοξον τὴν εἰς τριάδα λατρείαν
ἀναλαβόντες, σοφοί,
ἱερονίκους στεφάνους
ἀξίως συνανεδήσασθε.
Κύριε, Μανουὴλ ταῖς πρεσβείαις
10 καὶ τῶν συνάθλων αὐτοῦ
τὴν εἰρήνην παράσχου
καὶ ἔλεος ταῖς ψυχαῖς ἡμῶν.

36-42 troparium om. Rb Σγ 37 ἡμῶν Dg 49 ἀθλητὰς] ἐραστὰς Rb, ἀληθῶς Σγ

τρεῖς τῷ τῆς τριάδος ἀριθμῷ, ἐτιμήθησαν
55 καὶ νίκην κατὰ τῆς πλάνης
ἀνεπλέξαντο νομίμως στεφανούμενοι.

Ἅγιε ἁγίων,
σὺ ἐθαυμάστωσας τοὺς ἁγίους σου,
οὓς ἐκ θρυαλλίδος
60 ἐξελέξω μαγικῆς,
δείξας ἀπλανεῖς αὐτοὺς φωστῆρας τῆς πίστεως,
αὐγάζοντας, δᾳδουχοῦντας
ταῖς δεήσεσιν αὐτῶν τὰς διανοίας ἡμῶν.

θεοτ. * Μόνη εἰσήγαγες
65 τῇ ἀνθρωπότητι ξένην γέννησιν,
μόνη οὐ προείλω
τὴν ἐκ φύσεως φθοράν,
ἄσπορον ἀφθόρως τοκετὸν ὑπομείνασα,
διό σε ὡς θεοτόκον
70 ἐπαξίως οἱ πιστοὶ μακαριοῦμεν, ἁγνή.

ᾠδὴ γ′. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

Οὐκ ἔστιν, ἅγιοι,
κατ᾽ ἀξίαν εὐφημεῖν
τὴν ἱερὰν ὑμῶν ἄθλησιν,

57-63 troparium om. Σγ 57 Ἅγιε ἅγιε Rb ante θεοτ. hoc troparium add. Rb Σγ:

Ὄντως ἐπάξια
τοῦ μαρτυρίου σου τὰ ἐγκώμια,
Μανουὴλ θεόφρον,
παρὰ πάντων τῶν πιστῶν
5 σὺν τοῖς συναθλήσασι (ἐναθλήσασι Σγ) τῇ σῇ γενναιότητι,
μεθ᾽ ὧν σε ἀνευφημοῦντες
ἱκετεύομεν πρεσβεύειν τοῦ σωθῆναι ἡμᾶς.

64-70 θεοτ. TR 89, pro quo refert Σγ Ἡ μόνη κυήσασα τὸν ἄναρχον λόγον, πάναγνε, TR 258 64 εἰσάγαγες Dg 66 οὐ προείλω] οὐχ ὑπέστης TR 70 ἐπαξίως usque ad ἁγνὴ] κατὰ χρέως οἱ πιστοί, ἁγνή, δοξάζομεν TR, ἐπαξίως οἱ ἐν γῆι μακαριοῦμεν σε Rb

heirm. γ′, quem integrum refert A et partim Px, ille videtur ed. in EE 226, n. 323, Germani, sed valde a metro tropariorum discrepat 71-77 troparium om. Px Σγ

δι' ἧς ἀνεδήσασθε
75 οὐρανοπλόκους στεφάνους
θεῷ τῷ λυτρωτῇ ἡμῶν,
πρεσβεύοντες σωθῆναι ἡμᾶς.

Ἐκύπρισεν ἄμπελος,
ἡ ἐκκλησία σου, Χριστέ,
80 τὰ τῶν μαρτύρων βλαστήματα
ὡς βότρυν περκάζουσα,
ὡς σωτηρίου κρατῆρα
τὸ αἷμα τῆς σφαγῆς αὐτῶν
ὁ ψάλλων προϋπέγραψεν.

85 Πυρὶ λιπαινόμενοι,
οὐ χωνευόμενοι τὸν νοῦν,
τοῖς αἰκισμοῖς χαλκευόμενοι,
f. 52v τοῖς πόνοις στομού||μενοι,
οὐρανοχάλκευτον ξίφος
90 πεφήνασιν οἱ μάρτυρες
κατὰ τῶν ἀσεβούντων ἐχθρῶν.

Μητρὸς μὲν θεόφρονος,
πατρὸς δέ, παῖδες, μαγικοῦ,
τρεῖς ἐκ Περσίδος πεφήνατε
95 πυρσοί, χριστομάρτυρες,
καὶ τὴν βασίλειον πόλιν
τῇ αἴγλῃ τῆς ἀθλήσεως
φαιδρῶς κατεκοσμήσατε.

Ἠισχύνθη ὁ τύραννος,
100 πτῶμα ἐξαίσιον πεσὼν
ὁ ἀποστάτης καὶ ἄνομος,

---

76 λυτρωτῇ ἡμῶν] παντάνακτι Rb 78-84 troparium om. Px 80 μαρτύρων] μύρων A 81 ὡς] εἰς Cn περκάζουσα] ὑπεργάζουσα Dg, περκάζοντα Cn 82 ὡς] ὃν Σγ 83 τὸ usque ad αὐτῶν] τὸ αἷμα ὃ ἔχεσαν Rb vv. 85-223, disiecto folio, desiderantur in Σγ 85-91 troparium om. Rb A Ob v. 88 om. Px 90 πεφήνατε μάρτυρες (om. οἱ) Rc 91 ἀσεβούντων] πολεμίων Rc 92-98 troparium om. Rc Px Cn Ob 95 χριστομάρτυρες] χριστοῦ μάρτυρες Rb 99-105 troparium om. A Rc Cn Ob

---

78 Cant. 2,13 82-84 Ps. 115, 4-6

Χριστοῦ ἐνισχύσαντος
τὴν τῶν μαρτύρων τριάδα
γενναίως παρατάξασθαι
105 κατὰ τῆς ἀσεβείας αὐτοῦ.

τριαδ. Τριάδα δοξάσωμεν
ἐν οὐσιότητι μιᾷ,
σεραφικῶς ἀνακράζοντες
τὸ « ἅγιος, ἅγιος,
110 ἅγιος εἶ, παντοκράτορ »·
πρεσβείαις τῶν μαρτύρων σου
εἰρήνευσον τὸν κόσμον σου.

θεοτ. Αὐτήν σοι προσάγομεν
τήν σε τεκοῦσαν ἐν σαρκὶ
115 πρὸς ἱκεσίαν τοῦ κράτους σου,
Χριστὲ ὁ θεὸς ἡμῶν,
καὶ τῶν μαρτύρων τοὺς δήμους·
αὐτῶν ταῖς δεήσεσιν
εἰρήνευσον τὸν κόσμον σου.

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Ὡς τρίφωτος λαμπὰς
τῷ πυρὶ τῆς τριάδος
ἀνάψαντες, Περσῶν
τῶν τὸ πῦρ σεβομένων
5 τὸ σκότος ἐλίπετε
καὶ Χριστὸν ἐκηρύξατε
ἀνατείλαντα

---

105 ἀσεβείας] βασιλείας Rb 106-112 τριαδ. om. Rc Cn 107 οὐσιώτητι] θεότητι (emendatum ex θεότητα) Px 108 χερουβικῶς Rb 109 τὸ om. Rb 110 ἅγιος om. Dg 113 Αὐτήν σοι] Μεσίτιν Ob 114 τὴν τεκοῦσαν σε σαρκὶ Dg A σε om. Px Cn

κάθ. ante canonem referunt Rb (f. 42) et Σγ(f. 83v), pro hoc exhibent A Px Ob aliud κάθ.: Ἐκ Περσίδος ἀστέρες (φωστῆρες Px MR) φωτοειδεῖς, MR V, 308

heirm. καθ. PaR 9 5 ἐλείπετε Rb ἐλίπατε Rc

f. 53 ἐξ ἀκη||ράτου παρθένου
καὶ μακάριον
10 προσαπηνέγκασθε τέλος,
τρισάριθμοι μάρτυρες.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου,*
λόγε, ὁ προφήτης

120 Ἀχείμαστον ἡμῖν
λιμένα τοὺς ἁγίους
ἀνέδειξε Χριστός,
ὡς ναῦς τοὺς προσορμῶντας
ἐκ τρικυμίας καὶ ζάλης τῆς ἁμαρτίας
125 μετὰ τοῦ φόρτου διασώζοντας.

Τὸ αἷμα τοῦ ἀμνοῦ
καθάρσιον τοῦ κόσμου,
τὰ αἵματα ὑμῶν
ῥανίδες ἰαμάτων·
130 τοῦ ἀπαθοῦς γὰρ τὸ πάθος, μάρτυρες θεῖοι,
ἐξεικονίζετε τῷ πάθει ὑμῶν.

Ὡς εὔριζος χρυσὸς
ἡ πίστις τῶν μαρτύρων,
ὡς λίθοι διαυγεῖς
135 τὰ ἕλκη τῶν τραυμάτων,
οἷς ὡς διάδημα κάλλους ἡ ἐκκλησία
βασιλικῶς καταστολίζεται.

Ἐκ ῥίζης μαγικῆς
τριὰς εὐλογημένη,
140 πατρὸς οὐκ εὐσεβοῦς

8 ἀκηράτου] ἀπειράνδρου Rb Rc Σγ 10 πρὸ ἀπηνέγκασθε Rb
heirm. δ' EE 224, n. 321, Joannis 120-125 troparium om. Px
122 ἔδειξε Rb 123 ναῦ Dg ναῦν Rb A 124 καὶ ζάλης τε καὶ κινδύνων Dg
125 διασώζοντος A 126-131 troparium om. Px 127 τῶι κόσμω Rb
130 θεῖοι] μόνοι Rb Rc Cn 132-137 hoc troparium tantum Dg refert, om. ceteri cdd. 138-143 troparium om. Rc 138 μαγικῆς] ἀγαθῆς Cn

μητρὸς θεοσεβούσης
ἡ τῶν μαρτύρων ἐβλάστησεν ἀδελφότης
τελεσφορήσασα καρποὺς εὐκλεεῖς.

Ἐνήθλησαν οἱ τρεῖς
145 ὡς εἷς μιᾷ τῇ πίστει,
ἐπλέξαντο οἱ τρεῖς
στεφάνους θεοπλόκους,
οἱ ἐν μονάδι τριάδα ὁμολογοῦντες
καὶ τῆς τριάδος ἰσαρίθμιοι.

150 Ἀστέρες ἀπλανεῖς
πεφήνατε τῇ πίστει,
ἀνδρείας στηριγμὸς
ἐκλάμψαντες τῷ κόσμῳ,
οἱ τρισαυγεῖς τῆς τριάδος στεφανηφόροι,
155 ὁ Μανουήλ, Σαβὲλ σὺν τῷ Ἰσμαήλ.

f. 53v || Πρεσβεύσατε οἱ τρεῖς
ὡς εἷς πρὸς τὴν τριάδα
δοθῆναι ἱλασμὸν
καὶ ἄφεσιν πταισμάτων
160 τοῖς ἐκτελοῦσιν ἐν πίστει καὶ ἀληθείᾳ,
ἅγιοι μάρτυρες, τὴν μνήμην ὑμῶν.

θεοτ. Παλάτιον τερπνὸν
τοῦ πάντων βασιλέως
ἐδείχθης ἀληθῶς
165 καὶ θρόνος τοῦ ὑψίστου
καὶ ἀνωτέρα τῆς κτίσεως, θεομῆτορ,
καὶ προστασία τῶν ψυχῶν ἡμῶν.

141 μητρὸς δὲ θεοσόφου Cn 143 εὐκλεεῖς] εὐσεβεῖς Dg 144-149 troparium Dg refert, om. ceteri cdd. 150-155 troparium om. A Cn Ob
151 πεφύκατε Dg 152 στηριγμούς Rb 155 ὁ om. Rc v. 155 μάρτυρες ἔνδοξοι χριστοῦ τοῦ θεοῦ Dg 156-161 troparium om. A Px Cn Ob
ante θεοτ. referunt Rb A Px τριαδ.:
Ἀμέριστε τριάς,
μονὰς προσκυνουμένη,
ἐξέλασον (ἀπέλασον Rb) ἡμῶν
τὸν ζόφον τῆς ἀγνοίας
5 καὶ ἐλευθέρωσον πάντας ἐκ τῶν κινδύνων
ταῖς ἱκεσίαις τῶν ἁγίων σου.
166 θεομῆτορ] θεοτόκε Dg 167 προστασίαν Rb

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Ἀβραμιαῖοι κόλποι
τὰς τῶν μαρτύρων ψυχὰς ὑπεδέξαντο,
170 οἷς ὡς τύπος ἄγραφος
ἡ ἄνω βασιλεία κηρύττεται.

Ἀξιοχρέως πάντες
τὰ τῶν μαρτύρων τελοῦμεν μνημόσυνα·
τούτων γὰρ τοῖς αἵμασιν
175 ὁ σύμπας ἡγιάσθη τοῦ κόσμου ἀήρ.

Νυκτομαχούσης πάλαι
τῆς τῶν πιστῶν ἐκκλησίας, οἱ μάρτυρες
ταύτην κατεπύρσευσαν
τῇ αἴγλῃ τῆς ὀρθῆς αὐτῶν πίστεως.

180 Οἱ φαεινοὶ ἀστέρες
τοῦ νοητοῦ στερεώματος λάμποντες
τῆς ἀμώμου πίστεως,
Χριστοῦ τὴν ἐκκλησίαν φαιδρύνουσιν.

Ἐκ μαγικῆς ἀτμίδος
185 θεοσεβείας ἀκτῖνες ἐξέλαμψαν
οἱ γενναῖοι μάρτυρες,
οὓς ἡ τριὰς ὡς τρεῖς ἐστεφάνωσεν.

heirm. ε' EE 226, n. 323, Germani   168-171 troparium om. A Px Cn   169 τὰς] ὡς Rb   170 ὡς] ὁ Dg Ob   171 κηρύττουσα Rc   172-175 troparium om. Cn   174-175 τούτων usque ad ἀὴρ] τῆς ἀμώμου πίστεως / τούτων ἡγιάσθη κτίσις ἅπασα Px   176-179 troparium om. Rb Rc Px Ob   177 τῆς] τὰς Cn   178 κατεπύρσευσεν Cn   179 ὀρθῆς] θερμῆς Cn   180-183 troparium om. Rb   180 Οἱ] Ὡς Dg, Αἱ Px   ἀστέρες] φωστῆρες Rc   181 λάμπουσι Rc Px   λάμπουσιν Cn   183 φαιδρύνοντες Rc Px Cn   184-187 troparium om. A Rc Ob   184 ἀτμίδος] ἀκτῖνος Rb Px (emendatum ex ἀκτῖδος in Rb)   185 ἀκτῖνας ἐκλάμψαντες Px   ἀκτίνας ἐξέλαμψεν Cn   ἐκλάμπουσιν Rb   186 οἱ γενναῖοι μάρτυρες] τοὺς γενναίους ὁπλίτας Cn   187 οὓς usque ad ἐστεφάνωσεν] ἀχλὺν πολυθεΐας ἠμαύρωσαν Px

Τοὺς ἐκ πατρὸς ἀπίστου
καὶ ἐκ μητρὸς εὐσεβοῦς ἀναλάμψαντας,
190 Μανουὴλ τὸν ἔνδοξον,
Σαβὲλ καὶ Ἰσμαὴλ ἀνυμνήσωμεν.

f. 54 Θεοτ. || Τὸν τῆς τριάδος ἕνα
σεσαρκωμένον τεκοῦσα θεὸν ἀληθῆ,
θεομῆτορ, πρέσβευε
195 κινδύνων λυτρωθῆναι τὴν ποίμνην σου.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Λιμνάζει τῶν μαρτύρων τὰ ὀστᾶ
θαυμάτων χαρίσματα
ἐκ σοῦ πιαινόμενα
καὶ ἰαμάτων ποταμούς, Χριστέ, τῆς πάντων πηγῆς.

200 Ἐξέφυγον σπιλάδας νοητὰς
οἱ ἅγιοι μάρτυρες,
σωθέντες ἀκύμαντοι,
τῷ οἰακίζοντι σταυρῷ καθοδηγούμενοι.

Τὰ αἵματα ὑμῶν χάνασα γῆ
205 κατέκρυψεν, ἅγιοι,
καὶ ἄφνω τὰ λείψανα
τοῖς ἐγχθονίοις θησαυροῖς ἐνεκολπώσατο.

Εἰρήνευσον τὸν κόσμον, ὁ θεός,
καὶ σῶσον ὡς εὔσπλαγχνος

188-191 troparium om. A Rc Px Cn Ob   188 Τοὺς] Τοῦ Rb   189 ἀναλάμψαντος Rb   193 ἀληθῆ] ἡμῶν Cn   195 ποίμνην] πόλιν Rc

heirm. ς' EE 224, n. 321, Joannis   196-199 troparium om. Rb Px   198 ἐκ σοῦ] ἐξ οὗ Rc, ἐξ ὧν Ob   πιαινόμεθα A Cn Ob   199 καὶ om. Rc Cn Ob   χριστοῦ Cn   Χριστὲ usque ad πηγῆς] ἡμῖν παρέχουσιν Rc   τῆς om. Dg   πηγῆς] ζωῆς Ob   200-203 troparium om. Ob   200 νοητῶς Rb A Rc   νοητῶν Px   202 ἀπύμαντοι A   204-207 troparium om. Rc Px   204 χάνασα] χανοῦσα Rb, χαίρουσα Cn   206 ἄφνω] ἄμφω Rb   v. 207 παραδείσου θησαυροῖς ἀπετέθησαν Ob   ἐγχθονίοις] ἐνχρονίοις Cn   ἐκολπώσατο Dg   208-211 troparium om. A Cn Ob   208 ὁ] ὡς Rb

210 τὴν ποίμνην σου ἄτρωτον
ταῖς πρεσβείαις τῶν ἐνδόξων ἀθλοφόρων σου.

'Αγάλλεσθε, λαοί, πνευματικῶς,
εὐφραίνεσθε ἅπαντες·
Χριστὸς ἐνηνθρώπησεν,
215 τῆς δουλείας τῶν εἰδώλων ἀπαλλάξας ἡμᾶς.

τριαδ. Τριάδος ἰσαρίθμιος τριὰς
μαρτύρων ἐξέλαμψεν,
τριάδα δοξάζουσα
τὴν ἐν πατρί τε καὶ υἱῷ καὶ θείῳ πνεύματι.

θεοτ. 220 'Ασπόρως συλλαβοῦσα τὸν θεόν,
τὸν κτίστην τῆς φύσεως
ἀφθόρως ἐγέννησας·
αὐτὸν δυσώπει, θεομῆτορ, τοῦ σωθῆναι ἡμᾶς.

f. 54v ‖ ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Τρεῖς ἐξ ἑνὸς
225 φωτὸς πυρσοὺς ἀνῆψεν
ἡ τοῦ Χριστοῦ
φωσφόρος ἐκκλησία,
στεφανηφόρους
καὶ νικηφόρους,
230 τὸν ἔνδοξον Μανουὴλ
καὶ τοὺς συνάθλους αὐτοῦ.

---

210 v. om. Rb 211 ἐνδόξων] ἁγίων Rb 212-215 troparium om. A Rc Px Cn Ob 215 τῆς usque ad εἰδώλων] ἐκ τῆς λατρείας τῶν ἐθνῶν Rb 216-219 τριαδ. om. Rc Cn 216 τριὰς emendavit ex τριάδος Rb ἰσαρίθμιος] ἡ ἰσάριθμος Ob 219 τὴν] τὸν Rb τε om. Rb A Ob 220 τὸν θεὸν] ἐν γαστρὶ Cn, τὸν κύριον Px 221 φύσεως] κτίσεως Rb A 223 αὐτὸν] ὃν Cn Ob θεοτόκε Rb

post odem ς' refert Rc κοντάκ. Τῶν μαρτύρων σήμερον τὴν θείαν μνήμην et οἶκ. Τρεῖς ἐκ Περσίδος φαεινοὶ ἀστέρες τοῖς 'Ρωμαίοις AK 122; κοντάκ. Τῇ πίστει Χριστοῦ et οἶκ. Τὴν ἀπαρχὴν τοῦ θείου σου κάλλους AK 122 referunt A Px

in ode ζ' rursus auxilio utimur cd. Σγ

heirm. ζ' EE 226, n. 323, Germani 225 πυρσὸς Px 230 μανωὴλ Cn v. 231 σαβὲλ τε καὶ ἰσμαὴλ Rc

Χαλδαϊκὴν
κατέλιπον πατρίδα
καὶ μαγικὴν
235 ἐξέφυγον θρησκείαν
οἱ τῆς τριάδος
στερροὶ ὁπλῖται
βοῶντες· « εὐλογητὸς
ὁ τῶν πατέρων θεός ».

240 Οἱ ἀρραγεῖς
τῆς εὐσεβείας πύργοι
καὶ ἀσφαλεῖς
τῆς ἐκκλησίας στῦλοι,
οἱ μάρτυρές σου
245 πιστῶς βοῶσιν
ἀπαύστως· « εὐλογητὸς
ὁ τῶν πατέρων θεός ».

Οἱ μηδαμῶς
λατρεύσαντες τῷ Μίθρᾳ
250 καὶ ἀσφαλῶς
πιστεύσαντες τῷ κτίστῃ,
τῷ ἐν τριάδι
καὶ ἐν μονάδι,
πρεσβεύουσιν ἐκτενῶς
255 σωθῆναι πάντας ἡμᾶς.

Τρεῖς ἐν πυρὶ
οἱ περὶ 'Αζαρίαν
χαλδαϊκὴν
ἐξέφυγον λατρείαν,

232-239 troparium om. Rb Rc 238-239 βοῶντες usque ad θεὸς] κράζοντες ὁ θεὸς τῶν πατέρων ἡμῶν Ob 240-247 troparium om. Rb Rc Px Σγ Ob 241 εὐσεβείας] ἐκκλησίας A 243 ἐκκλησίας] εὐσεβείας A 246-247 εὐλογητὸς ὁ θεὸς / ὁ τῶν..... A 246 ἀπαύστως om. Dg 247 v. om. Cn πατέρων θεὸς om. Dg 248-255 troparium om. A Px Cn 249 λατρεύοντες Σγ 252 τῷ] τὸν Dg 254 πρεσβεύσατε Σγ Ob 255 εἰς τὸ σωθῆναι ἡμᾶς Rc 256-263 troparium om. A Cn Σγ Ob

---

243 Cfr. Apoc 3,12. 256-259 Dan. 3,13 ss.

260 καὶ τρεῖς ὁπλῖται
οἱ ἐκ Περσίδος
συνήθλησαν τῷ Χριστῷ,
οἱ περὶ τὸν Μανουήλ.

θεοτ. Ἐν γυναιξὶν
265 οὐ τέτοκε παρθένος
εἰ μὴ αὐτή,
παρθένε θεοτόκε·
πατὴρ γὰρ κάτω
καὶ μήτηρ ἄνω
270 τοῦ βρέφους ὅλως οὐκ ἦν·
διπλοῦς γὰρ ἦν ὁ Χριστός.

ᾠδὴ η'. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Ἐγκρατείᾳ
νευρώσαντες τὸ σῶμα,

---

262 συνήθλησαν] συνήφθησαν Px   τῷ] ἐν Rc Px   ante θεοτ. praebent Rb A τριαδ.:
Εἷς ὁ πατὴρ
θεὸς ὁ παντοκράτωρ,
εἷς ὁ υἱὸς
θεὸς ὁ ἐπὶ πάντων,
5 ἓν καὶ τὸ πνεῦμα
θεὸς τὴν φύσιν,
ἀλλ' εἷς τὰ τρία θεὸς
τῇ οὐσιότητι.
264-271 pro hoc θεοτ. praebent Σγ Ob Ὁ ἐν γαστρὶ τῆς παρθένου οἰκίσας MR V, 116   266-267 εἰ usque ad θεοτόκε] πλήν σου ἁγνὴ θεομῆτορ φανεῖσα Rc   267 παρθένος θεοτόκος A   269 μῆτερ A   271 διπλοῦς usque ad Χριστὸς] δι' εὐσπλαγχνίαν πολλὴν Cn   γὰρ om. A

heirm. η' EE 226, n. 323, Germani

odes η' in Cn Σγ Ob omnino differt ab ode supra relata: ipsi cdd. referunt heirm. *Τὸν τοῦ παντὸς δημιουργόν*, qui, si ille esset ed. in EE 135, n. 189, ἦχος πλ. α', in modo non concineret cum reliquo canone; in tropariis discordat Cn cum Σγ Ob, quorum et theotokia dissident.

odes secundum Cn:
ᾠδὴ η'. *Τὸν τοῦ παντὸς δημιουργὸν*
Μόνος ἐδόξασε Χριστὸς
τῶν μαρτύρων τὰ μνημόσυνα

εὐσεβείᾳ
275 τονώσαντες τὸ πνεῦμα,
ἀθλητικὸν ἐκρότησαν παγκράτιον
πρὸς τοὺς ἀοράτους
ἄρχοντας τοῦ σκότους
Χριστοῦ οἱ ἀθλοφόροι.

Μανουὴλ (μανωὴλ cd.) καὶ Ἰσμαὴλ
καὶ Σαβὲλ τοὺς κραταιόφρονας.
5 Τὸν ἀναδείξαντα ἡμῖν
τῶν μαρτύρων τὴν αἰτήσιον μνήμην
Μανουὴλ (μανωὴλ cd.) καὶ τῶν τούτου
συνάθλων ὑμνήσωμεν.
Τοὺς ἐξ ὀσφύος μαγικῆς
10 καὶ νηδύος προελθόντας εὐσεβοῦς
Μανουὴλ (μανωὴλ cd.) καὶ τοὺς τούτου
συνάθλους ἐγκωμιάσωμεν.
θεοτ. Τὸν (Τοὺς cd.) ἐν τῷ πόκῳ Γεδεὼν
τὴν παρθένον προτυπώσαντα (Iud. 6,37-40)
15 ἱερεῖς ⟨εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε⟩.

troparia secundum Σγ Ob:
Τὸν παρασχόντα τὴν ἰσχὺν
τοῖς ἁγίοις ἀθλοφόροις αὐτοῦ (τοῖς περὶ τὸν Μανουὴλ ἐν πυρὶ Σγ)
ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε.
5 Τὸν μεγαλύναντα θεὸν
τοὺς (τοῖς Σγ) περὶ τὸν Μανουὴλ ἐν πυρὶ
ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε.
Τὸν διαλύσαντα θεὸν
10 τὴν ἀχλὺν διὰ τῶν (ἁγίων add. Ob) ἀθλοφόρων αὐτοῦ
ἱερεῖς εὐλογεῖτε,
λαὸς ⟨ὑπερυψοῦτε⟩.

post troparia add. Σγ:
θεοτ. Τὸν ἐπ' ἐσχάτων δι' ἡμᾶς
ἐκ παρθένου σαρκωθέντα θεὸν
15 ἱερεῖς εὐλογεῖτε,
⟨λαὸς ὑπερυψοῦτε⟩.

in Ob θεοτ. differt:
θεοτ. Τὸν προελθόντα ἐξ ἁγνῆς
παρθένου ἀφράστως Χριστὸν τὸν θεὸν
15 ἱερεῖς εὐλογεῖτε,
⟨λαὸς ὑπερυψοῦτε⟩.

275 τονώσαντες] τηρήσαντες Dg, στομώσαντες A   278 τοῦ] τοὺς Rb

f. 55 280 ‖ Τῆς μερίδος,
Χριστέ, τῶν σωζομένων
καὶ τοῦ κλήρου
τυχεῖν τῶν σῶν μαρτύρων
καὶ τῆς ἀλήκτου δόξης καταξίωσον
285 τοὺς ὁμολογοῦντας
ἕνα σε υἱὸν
τοῦ πατρὸς καὶ τῆς παρθένου.

Ὥσπερ ἄνθη
στεφάνους στεψαμένη
290 τῶν μαρτύρων,
Χριστοῦ ἡ ἐκκλησία
τὴν νυμφικὴν στολὴν περιεβάλετο
αἵματι βαφεῖσαν,
ὡς ἐξ ἀοράτου
295 κογχύλης, τῶν μαρτύρων.

θεοτ. Ὡς τὸν ἕνα
τεκοῦσα τῆς τριάδος,
δυσωποῦσα
μὴ παύσῃ, θεοτόκε,
300 ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν
καὶ ἀξιωθῶμεν
τῆς ἐπιφανείας
αὐτοῦ καὶ βασιλείας.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Ἀξιοπρεπὴς τῶν μαρτύρων ἡ εὐωδία
305 ἐξ ἁγίου πνεύματος

283 τῶν σῶν] τοῦ τῶν Px 287 πατρὸς] θεοῦ Rc Px 289 στεφάνους] καὶ νῦν εὐλογεῖτε· καὶ τοὺς πόνους Dg 292 περιεβάλλετο Rb Rc 293-294 καὶ νῦν εὐλογεῖτε· καὶ τοὺς πόνους Dg 293-295 κύριον ὑμνοῦντ.. (ὑμνεῖτε?) καὶ ὑπερυπερυψοῦτε A, qui v. 295 om. 299 θεομῆτορ Px 303 αὐτοῦ] τῆς σῆς Px βασιλείας] σωτηρίας A
heirm. θ' EE 226, n. 324, Germani 304-308 troparium om. Px 304 Ἀξιοπρεπῶς Rb εὐωδία] εὐδοξία Rc

292 Cfr. Ps. 44,14

μυρίζουσα τὰς ὄψεις
τῶν πιστῶς αὐτῶν ἐκτελούντων τὴν μνήμην
καὶ τοὺς φιλομάρτυρας εὐφραίνουσα.

Ἐν τριπλῷ σχοινίῳ ὑμᾶς συνῆψεν ἡ χάρις,
310 Μανουήλ, Σαβέλ, Ἰσμαήλ,
ἀρραγεστάτῃ πίστει
συναρμόσασα τὴν ὁμόφρονα γνώμην
τῆς ὑπὲρ Χριστοῦ ὁμολογίας ὑμῶν.

Ἰουλιανὸν τὸν λυσσώδη καὶ ἀποστάτην,
315 τὸν ἀλάστορα τύραννον,
τῇ τριπλόκῳ σφενδόνῃ
νενικήκατε, τῆς τριάδος ὁπλῖται,
τρεῖς ἀναδησάμενοι στεφάνους οἱ τρεῖς.

f. 55v ‖ Τέλος τῆς ἀθλήσεως τῶν μαρτύρων τὸ ξίφος,
320 ἐν ᾧ, ἐκτμηθέντες
τὰς κεφαλάς, οἱ γενναῖοι
τοὺς στεφάνους συνανεπλέξαντο ἅμα
καὶ συμβασιλεύουσιν ἀεὶ τῷ Χριστῷ.

Ἀξιομνημόνευτον θαῦμα τὸ τῶν μαρτύρων·
325 μετὰ γὰρ τὸ τέλος
χάσματι γῆς ὑποδύντες
μετ' ὀλίγον, ὡς φωτοφόροι ἀστέρες,
τῶν τῆς γῆς πυθμένων συνεξήστραψαν.

τριαδ. Ἄναρχε τριὰς καὶ μονάς, εὐχαῖς τῶν μαρτύρων
330 Μανουήλ, Σαβέλ, Ἰσμαήλ,
τῆς τριφαοῦς λαμπάδος,

306 φωτίζουσα Ob 309-313 troparium om. Rb Rc Cn Σγ Ob 310 καὶ ἰσμαὴλ Px 311 ἀρραγεστάτοι στύλοι A 314-318 troparium om. Rc 314 λυσσώδη] δυσσώδη A Cn 315 τὸν] καὶ Px 318 οἱ τρεῖς] ὁμοῦ Px 319-323 troparium om. A Px Cn, post vv. 324-328 refert Rb 321 γενναῖοι] γεννάδες Rc 322 συνανεδήσαντο Rc ἀνεπλέξαντο Ob 323 συμβασιλεύετε Rb 324-328 troparium om. A Σγ Ob, ante vv. 319-323 refert Rb 326 χάσμα τῆς γῆς ὑποδῦντας Cn 327 μετ' ὀλίγῳ Dg 328 ἐξανήστραψαν Cn 329-333 τριαδ. om. A Rc Px Cn Σγ Ob 329 καὶ] ἡ Rb

τῶν τελούντων τὴν ἱερὰν αὐτῶν μνήμην
μνήσθητι καὶ φεῖσαι ὡς οἰκτίρμων θεός.

θεοτ. Ἡ ἐκ σῶν λαγόνων ἁγνῶν τεκοῦσα ἀφράστως
335 τὸν ἐκ τοῦ ἀνάρχου πατρὸς
ὑπερούσιον λόγον,
θεομῆτορ καὶ ἐν μητράσι παρθένε,
σῷζε τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

334-338 pro hoc θεοτ. refert Σγ: Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος MR II, 270, et Ob Ἄρρητον τὸ θαῦμα τῆς σῆς κυήσεως TR 23, quod θεοτ., ex ode β′ erutum, odi ϑ′ minime convenit 334 Ἡ] Ὁ Cn λαγόνων] τόκων A 335 τοῦ] σοῦ Dg 337 καὶ θεομήτωρ καὶ παρθενεύουσα πάλιν Dg καὶ] ἡ Cn παρθένος Rc Cn

19 IUN. *CANON* X

IN SANCTUM APOSTOLUM FORTUNATUM *

Crypt. Δ.α. LXIII	= Dg,	ff. 58v-62
Bodl. gr. Auct. E 5.2	= Oa,	f. 21rv
Hierosol. Sab. 70	= J,	ff. 59v-61v
Crypt. Δ.α. XXIII	= Cn,	ff. 19v-21v
Paris. gr. 1567	= Rb,	ff. 21-22v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸν παμμέγιστον δοξάσω Φορτουνᾶτον· Ἰωσήφ.

Ἦχος β′.

ᾠδὴ α′. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ θεῷ

Τῶν ἀγαθῶν
τὸν πορισμὸν συλλεξάμενος,
ὅπερ κακῶς συνέλεξα
φορτίον σκόρπισον
5 τῶν ἀμέτρων κακῶν μου
εὐχαῖς σου, Φορτουνᾶτε,
ὅπως ὑμνήσω σε.

---

* In diem XV iunii commemorationem constituit Synaxarium 752: ... καὶ τοῦ ἁγίου ἀποστόλου Φουρτουνάτου; cd. J etiam in eandem diem canonem refert; sed Cn Rb die nona iunii (cfr. Synaxarium, *Selecta*, 740 [27]) Fortunati memoriam celebrant.

tit. Εἰς τὸν ὄρθρον ὁ κανὼν tantum Dg in rubrica, sed in inferiori margine manu Ph. Vitali scriptum est φέρων ἀκροστιχίδα: Τὸν παμμέγιστον ... ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς Oa J δοξάζω Oa φουρτουνάτον Oa J ὁ κανὼν Cn, qui acrostichidem om. et in margine, quamquam ex tropariis Ἰωσὴφ apparet, sigla Θεοφάνους refert ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· τὸν παμμέγιστον ὑμνήσω (sed troparia hanc lectionem repellunt) φορτουνάτον Rb nomen auctoris om. Oa Rb sigla Ἰωσὴφ in margine praebet J

heirm. α′ EE 37, n. 51, Cosmae 2 σποριςμὸν Cn 3 συνήλεξα Dg συνήγαγον J 6 φουρτουνάτε Dg Oa J: in his cdd. forma nominis «φουρτουνάτος» iteratur

Ὁ φωτισμὸς
τοῦ δι' ἡμᾶς ὕλῃ σώματος
10 ἐπιφανέντος, ἔνδοξε,
ἐπανατείλας σου
τῇ καρδίᾳ, φωστῆρα
παγκόσμιον ἐνθέως,
μάκαρ, εἰργάσατο.

15 Νόμους τηρῶν
f. 59 ἀπαρατρώτους ‖ τοῦ πνεύματος,
τοῖς ἀνομοῦσιν ἔδειξας
τὴν τρίβον, πάνσοφε,
τῆς ζωῆς, Φορτουνᾶτε,
20 καὶ τῆς πολυθεΐας
τὸ μύσος ἔλυσας.

Παῦλος εὑρὼν
σέ, ὁ πολύφωτος ἥλιος,
ὥσπερ ἀκτῖνα ἄδυτον
25 κόσμῳ ἀπέστειλεν,
τῆς ἀπάτης τὸ σκότος
μειοῦντα καὶ καρδίας
πιστῶν φωτίζοντα.

θεοτ. Ἀνατολὴ
30 ἐπὶ δυσμάς, παναμώμητε,
τῆς ἡμετέρας φύσεως
δι' ἀγαθότητα
τοῦ ἡλίου ὀφθέντος
τοῦ τῆς δικαιοσύνης
35 σὺ ἐχρημάτισας.

11-12 σοι / τὴν καρδίαν Oa 14 εἰσγάσατο Rb 17 τοὺς ἀνομοῦντας Oa 21 τὸ μύσος] τὸν ζόφον Oa ἔλυσας] ὤλεσας J Cn 22-28 troparium om. Oa Cn 29-35 pro hoc θεοτ. aliud Cn substituit, quod inc.: Τίς ἐξειπεῖν / σοῦ κατ'ἀξίαν δυνήσεται / τὴν ὑπ<ὲρ> cetera om.: cfr. MR III, 13

---

18 s. Ps. 15,11; Matth. 7,14; Act. 2,28 22 s. I Cor. 16,17 29-35 Cfr. Mal. 3,20

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

Μαράνας τὰ φυτὰ
τῆς ματαιότητος
τῷ λόγῳ,
ἐφύτευσας θείαν γνῶσιν,
40 Φορτουνᾶτε, ἐν τοῖς πέρασιν,
ὡς ἀπόστολος θεῖος καὶ θεόληπτος.

Μαρτύρων προφανῶς
πλουτήσας εὔκλειαν,
ὡς μάρτυς
45 δεσποτικῶν παθημάτων
ἀποστόλοις συνδεδόξασαι,
διαγγείλας τὸ κήρυγμα τὸ ἔνθεον.

Ἐπέδραμες τὴν γῆν
διακονούμενος
50 τῷ Παύλῳ,
τῷ τοῦ Χριστοῦ διακόνῳ·
σὺν αὐτῷ δὲ τὰ οὐράνια
κατοικεῖς, Φορτουνᾶτε, ἀγαλλόμενος.

θεοτ. Γεννήσασα πατρὸς
55 τὸν συναΐδιον,
παρθένε,
ἀνθρώποις ὁμοιωθέντα,
ἀποστόλων ἐγκαλλώπισμα
καὶ μαρτύρων γεγένησαι στεφάνωμα.

---

heirm. γ' EE 39, n. 53, Cosmae 42 Μητέρα (?) τὴν σεπτὴν Oa 43 πλουτίσας Cn 48 Ἐπέδραμεν Cn 54-59 pro hoc θεοτ. aliud refert Cn: Ἀσπόρως ἐν γαστρὶ MR III, 14 59 γεγέννησαι Dg

f. 59ᵛ ‖ Κάθισμα.

Ἦχος πλ. δʹ. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Ὡς ἀστὴρ ἀνατείλας φωτοειδὴς
ἐκκλησίας ἐν ὕψει, φωταγωγεῖς
τοῦ κόσμου τὰ πέρατα
φωταυγείᾳ τῶν λόγων σου
5 καὶ θαυμάτων πλείστων
λαμπραῖς ἐπιδείξεσιν
ἀπελαύνεις σκότος
παθῶν πολυώδυνον·
ὅθεν τὴν φαιδράν σου
10 καὶ ὑπέρλαμπρον μνήμην
τελοῦντες, ἀξίως σε,
Φορτουνᾶτε, γεραίρομεν
καὶ συμφώνως βοῶμέν σοι·
« πρέσβευε Χριστῷ τῷ θεῷ
15 ⟨τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩ ».

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν
τῆς σῆς οἰκονομίας

60 Ἰσχυράν σε παράκλησιν
καὶ φωτισμὸν
οἱ πάλαι συσχεθέντες
ἀγνωσίας ζόφῳ
εὗρον, πανόλβιε.

---

post oden γʹ tantum Dg Oa praebent κάθ. quod Rb om.: idem ante canonem referunt Cn (f. 19) et ut ἄλλο κάθ. J (ff. 59-59ᵛ); ipse J et Rb (f. 21) aliud κάθ. ante canonem praebent: cfr. commentarium p. 359, notam 2
heirm. κάθ. MR I, 68 7 ἀπελαύνει Oa ἀπελαύνων Cn vv. 15-17 in cdd. om. scripsi ut in MR V, 53, ubi κάθ. eiusdem heirm. refertur
heirm. δʹ MR I, 96 60 σε] τὴν Cn 64 εὗρες Cn

65 Στρατιώτης γενόμενος,
τοῦ δυσμενοῦς,
σοφέ, τὰς μυριάδας,
Φορτουνᾶτε, ξίφει
ἀνδρείως ὤλεσας.

70 Ταῖς τοῦ Παύλου ἑπόμενος
τοῦ ἐκλεκτοῦ,
σοφαῖς διδασκαλίαις,
Φορτουνᾶτε μάκαρ,
πάντας ἐφώτισας.

75 Ὀπαδὸς σκεύους γέγονας
τῆς ἐκλογῆς
καὶ μύστης τῶν ἀρρήτων
καὶ ἐθνῶν, παμμάκαρ,
κῆρυξ σωτήριος.

f. 60 80 ‖ Νεκρωθεῖσιν ἐκήρυξας
θείαν ζωὴν
καὶ νέκρωσιν ὑπέστης
ζωηφόρον, μάρτυς,
σοφέ, γενόμενος.

θεοτ. 85 Διὰ σοῦ ἡμῖν ἔλαμψε
τοῖς ἐν σκιᾷ

---

66 τοῦ] τοῦς Dg 68-69 ξίφει ἀνδρεί deleto, τιμῶμεν σε Dg postea exaravit 69 ἀνδρείας Cn 70-74 troparium om. Cn, hoc aliud legitur in J Rb:

Τῷ πυρσῷ (πυρῷ Rb) τῶν δογμάτων σου
πρὸς νοητοὺς
λιμένας ἐφειλκύσω (ἐφελκύσω Rb)
τοὺς βυθιζομένους
πλάνης τοῖς κύμασιν.

70 ἑπόμενοι Dg 72 σοφὲ Dg 73 μάκαρ] θεῖε Dg 74 πόθῳ τιμῶμέν σε Dg 75-79 troparium om. Oa Cn 79 κῆρυξ σωτήριος] θεῖος διδάσκαλος J Rb 80-84 troparium om. Oa Rb 80 Νεκρωθεῖσαν J 85-89 aliud θεοτ. refert Cn: Δυσωποῦμέν σε ἄχραντε / ἡ τὸν θεὸν ἀσπόρως συλλα⟨βοῦσα⟩ (cetera om.), quod illud videtur ed. in MR III, 15

75-76 Act. 9,15

θανάτου καθημένοις,
θεοτόκε κόρη,
ἄδυτος ἥλιος.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγὸς*

90 Οἱ ἐκ κοιλίας τῆς σῆς
ῥεύσαντες θεῖοι ποταμοὶ ἤρδευσαν
τὰς τῶν πιστῶν,
μάκαρ, διανοίας
καὶ πολυθεΐας
95 θολώδεις χειμάρρους
τελείως ἐμείωσας.

Ξέναις φωναῖς τούς ποτε
ξένους ὑπάρχοντας θεοῦ, ἔνδοξε,
πανευσεβῶς
100 αὐτῷ οἰκειώσω
καὶ ξένως ἀθλήσας,
μάκαρ, ἐπὶ ξένης
ἐκτήσω τὰ μένοντα.

Αἵμασιν ἔσβεσας
105 τῆς δυσσεβείας τὴν πυράν, ὄμβρους δὲ
πολυειδῶν
θαυμάτων πηγάζεις,
ἐκπλύνων τῶν παθῶν,
μάκαρ Φορτουνᾶτε,
110 τὸν ῥύπον ἐν χάριτι.

88-89 θεοτόκε ἄδυτος / ὄντως ἥλιος J Rb
heirm. ε΄ EE 38, n. 51, Cosmae 90 Οἱ ἐκ κοιλίας] Ἡ ἐκκλησία Rb 96 ἐμείωσαν Dg Rb 97-103 troparium om. Cn 99-102 πανευσεβῶς usque ad ξένης] πανευσεβεῖς παμμάκαρ ποιήσας / αὐτῷ οἰκειώσω / καὶ ξένως ἀθλήσας Dg 101-102 καὶ usque ad ξένης] καὶ ξένως ἀληθῶς / παμμάκαρ ἀθλήσας Oa 105 δυσσεβείας] ἀσεβείας Cn ὄμβροις τὲ Oa 108 ἐκπλύνοντα παθῶν Dg

---

97 Cfr. Act. 2,4 98 Cfr. Eph. 2,12

θεοτ. Σωματοφόρος ὀφθεὶς
ἐκ σοῦ ὁ ἄσαρκος θεός, ἄχραντε,
τῶν σαρκικῶν
παθῶν ἐκλυτροῦται
115 τοῖς πάθεσιν αὐτοῦ
πάντας τοὺς πιστῶς σε
ἀεὶ μακαρίζοντας.

ᾠδὴ ϛ΄. *Ἄβυσσος ἁμαρτημάτων*

f. 60ᵛ || Ὤφθη σου
ἡ γλῶσσα, μάκαρ,
120 τῷ πνεύματι τεθιγμένη
καὶ καλλιγραφοῦσα ἐν πλαξὶ
νόμον τοῦ πνεύματος
τῶν καρδιῶν
τῶν πιστῶν, Φορτουνᾶτε.

125 Φρύαγμα
πολυθεΐας
κατέβαλες ἐναθλήσας,
καὶ τὴν ἱεράν σου στολὴν
φοινίξας ἐν αἵματι
130 τῆς σῆς σαρκός,
ἱεράρχα καὶ μάρτυς.

Ὁ τάφος σου,
ἀκτῖνας πέμπων
ἰάσεων παραδόξων,
135 σκότος ἐκδιώκει τῶν παθῶν

111-117 pro hoc θεοτ. refert Cn: Σὲ προστασίαν, ἁγνή, MR V, 291 112 ὁ om. Dg 113 τῶν σαρκικῶν] σωματικῶν Oa
heirm. ϛ΄ EE 44, n. 59, Germani, 129 ἐν αἵμασι Dg 130 τῆς σῆς] τῆς τῆς Oa, τὴν τῆς Rb 133 πέμπει Cn 134 παραδόξως Cn

---

121-124 II Cor. 3,3

καὶ φλέγει τὰς φάλαγγας,
ἀπόστολε,
ἀκαθάρτων πνευμάτων.

θεοτ. 'Ρῆξόν μου,
140 παρθένε κόρη,
σειρὰς ἀμέτρων πταισμάτων
καὶ τῷ φωτισμῷ σου τὴν ἐμὴν
ζοφώδη διάνοιαν
καταύγασον,
145 τῶν πιστῶν προστασία.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Τιμάσθω φαιδρῶς
ὁ θεόφρων Στεφανᾶς καὶ Φορτουνᾶτος
'Αχαϊκός τε ὁ πανόλβιος,
οἱ τῆς τριάδος ὑπέρμαχοι,
150 Παύλου μαθηταὶ γεγονότες
καὶ τῆς πίστεως κήρυκες
καὶ τῶν ἐθνῶν σαγηνευταὶ
καὶ πλουτισταὶ τῶν πιστῶν.

'Οδοὺς πρὸς ζωὴν
155 τὰς φερούσας ὥδευκὼς δυνάμει θείᾳ,
τοὺς πλανωμένους καθωδήγησας
πρὸς ἀπλανεῖς τρίβους γνώσεως,
καθυποσκελίσας τοῦ πλάνου
τὰς πορείας ἐν πνεύματι,
f. 61 160 ὦ Φορ||τουνᾶτε, μιμητὰ
τῶν παθημάτων Χριστοῦ.

136-137 καὶ φλέγει ἀπόστολε / τὰς φάλαγγας J Cn Rb 140 παρθενομῆτορ J Cn Rb 141 σειρὰς τῶν ἁμαρτημάτων Dg 143-144 ζοφώδη καταύγασον / διάνοιαν J Cn Rb 145 προστασία] σωτηρία Dg, ἡ προστάτις Oa
heirm. ζ' EE 39, n. 53, Cosmae 147 φουρτουνάτος Rb 150 παύλου γεγονῶτες συμμύσται Cn 151 τῆς iterat Cn 153 πιστῶν] πτωχῶν Oa 158 καθυποσκελίζων Cn 160 φουρτουνάτε Rb

147-148 Cfr. I Cor. 16,15-18 152 Cfr. Matth. 4,19; Marc. 1,17
154s. Cfr. Act. 2,28

'Υμᾶς ὁ κλεινὸς
εὑρηκὼς καθηγεμὼν ἐξαποστέλλει,
καθάπερ ζεῦγος ἱερώτατον,
165 ψυχὰς ἀρότρῳ τῆς πίστεως,
ἔνδοξοι, νεάζειν καὶ φέρειν
ἐπιγνώσεως ἄσταχυν,
'Αχαϊκὲ ἱερουργὲ
καὶ Φορτουνᾶτε σοφέ.

θεοτ. 170 Νεκρὸς γεγονώς,
παραβὰς τὴν ἐντολὴν 'Αδὰμ τοῦ πλάστου,
ἀνεζωώθη ἀληθέστατα
τῇ ζωηφόρῳ κυήσει σου
καὶ τοῦ παραδείσου τὴν πρώην
175 διαγωγὴν ψάλλων εἴληφεν·
« εὐλογημένη ἡ θεὸν
σαρκὶ κυήσασα ».

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

'Αγιασμὸν καὶ φωτισμὸν
ἀποπέμπει ἡ σορὸς
180 τῶν σῶν λειψάνων
καὶ φωτίζει καρδίας
καὶ ἁγιάζει ψυχὰς
καὶ φλέγει
δαιμόνων τὰς φάλαγγας,
185 μάκαρ Φορτουνᾶτε,
ἀπόστολε κυρίου.

Τυφλοῖς τὸ βλέπειν χορηγεῖς
καὶ ἀλάλοις τὸ λαλεῖν

165 ἀρότρῳ] ἀτρώτους Cn 168 ἱερουργὲ ἀχαϊκὲ J 174 πρώτην Dg Cn 175 εἴληφας Cn 176-177 εὐλογημένος ὁ καρπὸς / τῆς σῆς κοιλίας ἁγνὴ Oa εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν J post εὐλογητὸς cetera om. Cn 177 v. om. Rb
heirm. η' EE 35, n. 47, Joannis

170s. Gen. 3,6 ss.

ἀνεμποδίστως,
190 τοῖς χωλοῖς εὐδρομίαν,
ἐνοχλουμένοις, σοφέ,
ταχίστην
ἴασιν, κωφεύουσιν,
μάρτυς, τὸ ἀκούειν,
195 θεόφρον Φορτουνᾶτε.

Ὁ ἱερώτατος ποιμήν,
ὁ τοῦ Παύλου φοιτητής,
ὁ θεηγόρος,
τοῦ Χριστοῦ τὸ ἀρνίον,
f. 61ᵛ 200 ἡ τῶν θαυμά‖των πηγή,
ὁ μέγας
ἀστήρ, ὁ πολύφωτος
θεῖος Φορτουνᾶτος
τιμάσθω εἰς αἰῶνας.

θεοτ. 205 Νέον ἐκύησας ἡμῖν
ἐπὶ γῆς ὡς ἀληθῶς,
ἁγνή, παιδίον,
τὸν πρὸ πάντων αἰώνων
ἐκ τοῦ ἀνάρχου πατρὸς
210 ἀρρήτως
γεννηθέντα, ἄχραντε,
τοὺς παλαιωθέντας
φθορᾷ ἀνακαινίζον.

ᾠδὴ θ'. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

Ἱερονίκοις στεφάνοις
215 κοσμηθείς, Φορτουνᾶτε,
παρίστασαι τῷ θρόνῳ τοῦ θεοῦ,

193 κωφεύουσιν] καὶ κώφευσειν Cn 194 τὸ] τοῦ Oa Cn 197 φοιτητὴς] μαθητὴς Oa 203 ὁ θεῖος J Rb θεῖος] πίστει Oa 204 ὑμνείσθω Oa Rb 208 τὸν] τὸ Cn 211 γεννηθέντα] γεγέννηκας Rb 213 ἀνακαινίζων cdd.

heirm. θ' EE 34, n. 46, Joannis 214 Ἱερονίκους στεφάνους Cn 215 φουρτουνάτϊε Oa 216 τοῦ χριστοῦ J Rb

σὺν ἀποστόλοις καὶ μάρτυσιν
ἐξαιτούμενος πᾶσι
τοῖς πίστει σε τιμῶσιν ἱλασμὸν
220 καὶ ψυχῶν σωτηρίαν
καὶ θείαν ἀπολύτρωσιν.

Ὡς πολυτίμητος ὄλβος
ἐν τῇ γῇ κεκρυμμένος,
σημείοις φανεροῦσαι φοβεροῖς
225 εἰς φωτισμὸν ἡμῶν, ἅγιε,
ὀπτανόμενος οἷσπερ
ἠθέλησας καὶ βλύζων ἀληθῶς,
θαυμαστὲ Φορτουνᾶτε,
ἰάσεις τοῖς τιμῶσί σε.

230 Σήμερον τέρπεται πᾶσα
ἐκκλησία, τιμῶσα
τὴν μνήμην τὴν ἁγίαν σου πιστῶς,
ἐν εὐφροσύνῃ γεραίρουσα
τοὺς ἀνδρείους ἀγῶνας,
235 τὰ στίγματα, τοὺς πόνους σου, σοφὲ
Φορτουνᾶτε, μαρτύρων
καὶ ἱερέων καύχημα.

f. 62 ‖ Ἡλιακὰς λαμπηδόνας
ἀπαστράπτει πλουσίως
240 ἡ σή, θεομακάριστε, σορὸς
καὶ καταυγάζει τοὺς πίστει σοι
προσιόντας καὶ παύει
ὀδύνας καὶ σωμάτων καὶ ψυχῶν,
Φορτουνᾶτε, ἁγίων
245 ἀγγέλων ἰσοστάσιε.

219 σε τιμῶσιν] προσκυνοῦσιν Cn 222 πολύτιμος Oa 224 φανεροῦσαι: cfr. Psaltes, 209 225 ἡμῶν, ἅγιε] εἰς ἁγίασιν Oa 229 τοὺς τιμῶντας Cn σε om. Cn 231 ἐκκλησία, τιμῶσα] ἡ χριστοῦ ἐκκλησία Rb 233 γεραίρουσιν Cn 235 σου om. J 237 καὶ ἱερέων] ἱεραρχῶν τε Oa 241 σοι] σε Cn

θεοτ. * Φέρεις τὸν φέροντα πάντα
θεϊκῇ δυναστείᾳ
καὶ τρέφεις ἐκ μαζῶν πᾶσαν πνοὴν
τὸν διατρέφοντα, πάναγνε·
250 ὑπὲρ νοῦν σου τὸ θαῦμα
ἀγγέλους καταπλῆττον καὶ βροτούς,
τοὺς ἀεί σε ὑμνοῦντας
καὶ πόθῳ μακαρίζοντας.

246-253 θεοτ. MR I, 202 252 ὑμνοῦντας] τιμῶντας Rb

IN SANCTUM EUSTOCHIUM ET SOCIOS MARTYRES

Synaxarium 766 * : ..... ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐστοχίου πρεσβυτέρου καὶ τῶν σὺν αὐτῷ. Οὗτος ὁ ἅγιος Εὐστόχιος καὶ Γαϊανὸς ὁ ἀνεψιὸς αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ Πρόβη, Λουλοὺς καὶ Οὐρβανὸς ὑπῆρχον ἐκ πόλεως Οὐσάδων κατὰ τοὺς χρόνους Μαξιμιανοῦ καὶ Ἀγρίππα ἡγεμόνος. Ὁ οὖν Εὐστόχιος ἱερεὺς ὢν τὸ πρότερον τῶν εἰδώλων, ἐν τῷ καθορᾶν τοὺς ἁγίους ὑπὲρ Χριστοῦ μαρτυροῦντας καὶ παράδοξα θαύματα κατεργαζομένους, κατέγνω τῆς οἰκείας θρησκείας· καὶ προσελθὼν Εὐδοξίῳ τῷ ἐπισκόπῳ Ἀντιοχείας, παρ' αὐτοῦ ἐβαπτίσθη καὶ τῆς τοῦ πρεσβυτέρου χειροτονίας κατηξιώθη. Ἐλθὼν δὲ εἰς κώμην καλουμένην Λύστραν καὶ τὸν ἀνεψιὸν αὐτοῦ Γαϊανὸν μετὰ τῶν τριῶν παίδων αὐτοῦ εὑρὼν καὶ τὰ περὶ Χριστοῦ παραθέμενος αὐτοῖς, ἐβάπτισεν αὐτοὺς καὶ πάντας τοὺς κατὰ γένος αὐτῷ διαφέροντας. Ὅθεν ἐπὶ τοῦτο συσχεθεὶς ἤχθη πρὸς τὸν ἡγεμόνα καὶ τὸν Χριστὸν ὁμολογήσας ἀνηρτήθη ἐπὶ τοῦ ξύλου καὶ ἐξέσθη σφοδρῶς· εἶτα παρεπέμφθησαν ἅμα ἐν Ἀγκύρᾳ πρὸς Ἀγριππῖνον τὸν ἐκεῖσε ἡγεμονεύοντα, παρὰ δὲ τοῦ Ἀγριππίνου εἰς ἐρώτησιν καταστάντες καὶ τὸν Χριστὸν ὁμολογήσαντες, πρῶτον μὲν κρεμᾶται ἡ ἁγία Πρόβη καὶ κατὰ τῶν μαστῶν δεινῶς ξέεται· καὶ μετὰ τοῦτο κρεμᾶται ἡ Λουλοὺς καὶ Οὐρβανὸς ἀπέναντι ἀλλήλων καὶ κατὰ τῶν παρειῶν ξέονται· ὧν τὸ αἷμα Γαϊανὸς ὁ ἀνεψιὸς ὑποδεχόμενος, ἐτύφθη τὸν νῶτον καὶ τὴν γαστέρα. Ὁ δὲ ἅγιος Εὐστόχιος τὴν κεφαλὴν ἀπετμήθη καὶ μεθ' ἡμέραν Γαϊανὸς ὁ ἀνεψιὸς αὐτοῦ. Τὰ δὲ νήπια κατενεχθέντα χαλκῷ προσεδέθησαν τροχῷ· ἐκεῖθεν δὲ ἀβλαβῆ διαφυλαχθέντα, παραδόξως τοῦ τροχοῦ τῆς κινήσεως παυσαμένου καὶ τοῦ πυρὸς σβεσθέντος, ξυρῶνται τὰς κεφαλὰς καὶ ἥλοις διελαύνονται· καὶ αἱ μὲν θήλειαι τέμνονται τοὺς μαστούς, ὁ δὲ Οὐρβανὸς σπαθίζεται. Ἐπὶ τούτοις δὲ μὴ πεισθέντες ἀλλὰ διαπρυσίως τὸν Χριστὸν κηρύττοντες ξίφει τὰς κεφαλὰς ἀποτέμνονται.

Hierosol. Sab. 70 = J, ff. 86v-88v
Sinait. gr. 630 = Σδ, ff. 30v-31v
Paris. gr. 245 = Px, pp. 84-88
Mess. gr. 136 = Mf, ff. 174v-178

* In diem vigesimam tertiam iunii describit Synaxarium memoriam martyrum, omnes cdd. autem in diem vigesimam canonem consistunt: Synax. *Selecta*, 759[44-45].

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Σεπτὴν ἐπαινῶ μαρτύρων νῦν πεντάδα· Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ*

Στεφηφοροῦντες τῷ βήματι τοῦ Χριστοῦ
παρεστῶτες, μάρτυρες,
καὶ φωτὶ θεαρχικῷ
πάντοτε λαμπόμενοι, ἡμᾶς
5 φωτισμοῦ πνευματικοῦ
τυχεῖν πρεσβεύσατε.

Εὐστοχωτάτως τῇ πίστει τῇ τοῦ Χριστοῦ
προσελθών, Εὐστόχιε,
ἐχρηματίσας αὐτοῦ
10 ἱερεὺς πανθαύμαστος, σοφέ,
καὶ γενναῖος ἀθλητής·
ὅθεν τιμῶμέν σε.

Πολυειδεῖς, μάρτυς, πόνους διὰ Χριστόν,
τὸν σταυρὸν καὶ θάνατον
15 ὑπομείναντα σαρκί,
καρτερῶς ὑπέμεινας καὶ νῦν
πόνους παύεις τῶν ψυχῶν
καὶ τῶν σωμάτων ἡμῶν.

Τοὺς ἀθλητὰς τοῦ κυρίου, Γαϊανόν,
20 Πρόβην καὶ Εὐστόχιον
καὶ Οὐρβάσιον ὁμοῦ
καὶ Λουλοὺν τιμήσωμεν, πιστοί,
καθελόντας τῶν ἐχθρῶν
τὰ μηχανήματα.

---

tit. ὁ κανὼν οὗ ἀκροστιχὶς Σδ   ὁ κανὼν φέρων ἀκροστιχίδα Px   sigla Ἰωσήφ in margine praebent J Px   acrostichidem et nomen auctoris om. Mf
heirm. α' EE 159, n. 224, Joannis   13-18 troparium om. Px Mf   19-24 troparium om. Mf   19 γαϊνὸν J   22 λουλὸ Σδ λουλῶ Px

θεοτ. 25 Ἡ τὸν ἀχώρητον λόγον ὑπερφυῶς
ἐν γαστρὶ χωρήσασα,
ἀπολύτρωσαι ἡμᾶς
πάσης περιστάσεως, ἁγνή,
καὶ κολάσεως πυρὸς
30 διαιωνίζοντος.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
κύριε ὁ θεός μου,

Νοῒ κατεῖδες καθαρῷ,
τῇ θεογενεσίᾳ
προσελθών, ἀθλοφόρε,
ἐν ἐκστάσει γεγονώς,
35 τὴν δόξαν τὴν τοῦ θεοῦ
f. 87 ‖ βεβαιοῦσαν
πίστει τὴν καρδίαν σου.

Εὐτόνως, μάρτυς, τοὺς ξεσμοὺς
ἤνεγκας, θείῳ σθένει
40 δυναμούμενος, μάκαρ,
τοῦ βασιλέως Χριστοῦ
καὶ καταράσσων ἐχθροῦ
τὰς ἐπάρσεις,
μέγιστε Εὐστόχιε.

45 Πολλὰς βασάνους ἐνεγκὼν
καὶ τυπτόμενος μάτην,
ὥσπερ πάσχοντος ἄλλου,
τῶν μαστίγων τοὺς ξεσμούς,
Γαϊανὲ ἀθλητά,
50 οὐκ ᾔσθάνου,
πίστει κραταιούμενος.

---

heirm. γ' EE 159, n. 224, Joannis   37 σου] μου Σδ   38-44 troparium om. Mf   48 μαστίγων] μεγίστων J, μαρτύρων Σδ Px   51 κρατυνόμενος Σδ Px

θεοτ. Ἀφλέκτως ἤνεγκας τὸ πῦρ
τῆς θεότητος, κόρη·
σὲ γὰρ πόρρωθεν βάτος
55 προεικόνιζεν, σεμνή,
σπαργανουμένη πυρὶ
καὶ μηδ᾽ ὅλως
φλεγομένη, ἄχραντε.

ᾠδὴ δ΄. *Χριστός μου δύναμις,*
θεὸς καὶ κύριος

Ἱστίῳ, μάρτυρες,
60 σταυροῦ πτερούμενοι,
τῶν βασάνων ἀβρόχως
τὸ χαλεπὸν
πέλαγος διήλθετε
καὶ πρὸς λιμένας οὐρανῶν
65 βασιλείας κατηντήσατε.

Νοὸς στερρότητι,
σοφὲ Εὐστόχιε,
σπαθιζόμενος, μάρτυς,

---

55 προεικόνησε Σδ προεικόνισε Px
post oden γ΄ referunt Σδ Px sequens κάθ., quod J ante canonem (f. 86) et Mf post oden ς΄ praebent:
Κάθισμα. Ἦχος πλ. β΄. *Ἐλπὶς τοῦ κόσμου ἀγαθὴ*
Ἀνδρειοτάτῳ λογισμῷ,
ἀθλοφόροι, τὸν δρόμον
τοῦ μαρτυρίου τοῦ σεπτοῦ
διανύσαντες ἅμα,
5 ἐτύχετε τῶν αἰωνίων ἀγαθῶν
καὶ εὕρετε (ex εὕρατε emendavit J, ηὕρατε Σδ Px Mf)
τὴν ἀτελεύτητον ζωὴν
ἐν οὐρανοῖς χορεύοντες (χορεύεται Σδ)
σὺν πᾶσιν ἐκλεκτοῖς,
10 μεθ᾽ ὧν ὑμᾶς τιμῶμεν.
heirm. δ΄ EE 159, n. 224, Joannis 63 διήλθατε Σδ

54-58 Ex. 3,2

οὐ τοῖς γλυπτοῖς
70 σέβας ἐναπένειμας·
ἕνα γὰρ ἔσεβες θεὸν
ἐν τριάδι προσκυνούμενον.

Ὡς ἄλλου πάσχοντος
σαφῶς διέκεισο,
75 παναοίδιμε Πρόβη,
κατὰ μαζῶν
ξεομένη, πάνσεμνε,
καὶ ἐπὶ ξύλου ἀνδρικῶς
κρεμαμένη, ἀξιάγαστε.

80 Μαρτύρων στίγμασι
καλλωπιζόμενος,
ἀνηρτήθης ἐν ξύλῳ
ὡς ὁ Χριστός,
μέγιστε Οὐρβάσιε,
85 τῇ ἀφαιρέσει τῆς δορᾶς
τὴν φθορὰν ἀποδυόμενος.

θεοτ. Ἁγία δέσποινα,
ἡ τὸν πανάγιον
ὑπὲρ ἔννοιαν λόγον
90 ὑπερβολῇ
τέξασα χρηστότητος,
τοὺς ἀνυμνοῦντάς σε ἀεὶ
τῇ πρεσβείᾳ σου ἁγίασον.

ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ῥήμασι θείοις τῷ δυσσεβεῖ,
95 μάρτυς, ἀντετάξω ἀνδρικῶς,
καταπλαγέντι τὴν δύναμιν

---

70 ἐναπέμεινας J ἐν ἀπένειμες Σδ 73-86 duo troparia om. Mf 77 πάνσοφε Σδ Px 80-86 troparium ut θεοτ. ostendit Px, qui autem vv. 87-93 om. 86 ἀποδυσάμενος Σδ Px
heirm. ε΄ EE 159, n. 224, Joannis

τοῦ ἐν σοὶ λαλοῦντος
f. 87v || Χριστοῦ, Εὐστόχιε,
ὃν αἴτησαι σωθῆναι
100 τοὺς εὐφημοῦντάς σε.

Τὰς αἰωνίους ἀποσκοπῶν,
μέγιστε Εὐστόχιε, μονὰς
καὶ ἀναπαύσεις, ὑπέθηκας
ξίφει τὸν αὐχένα
105 καὶ ταῖς τοῦ αἵματος
ῥανίσιν ἀθεΐας
τὸ πῦρ ἀπέσβεσας.

Ὑπὸ τῆς χάριτος κρατυνθεὶς
ὁ Γαϊανὸς ὁ εὐκλεής,
110 πάθος σεπτὸν ἐξεικόνισε
καὶ διὰ θανάτου
τὴν ἀτελεύτητον
ζωὴν κληρονομῆσαι
νῦν κατηξίωται.

θεοτ. 115 Ῥῦσαι τοὺς δούλους σου ἀπειλῆς
πάσης ἐναντίας καὶ πυρὸς
διαιωνίζοντος, δέσποινα,
καὶ τῆς ἐν τῷ ᾅδῃ
φρικτῆς κολάσεως,
120 ὡς μόνη προστασία
βεβαία πάντων ἡμῶν.

ᾠδὴ ϛʹ. *Τοῦ βίου τὴν θάλασσαν*

Ὡς ῥόδα ἀμάραντα
ἐγνωρίζοντο πυρὸς
ἐν μέσῳ αἱ νεάνιδες·

108-114 troparium om. Mf
heirm. ϛʹ EE 159, n. 224, Joannis

97-98 II Cor. 13,3 101s. Joh. 14,2. 103 Matth. 11,29

125 ἥλους δεξάμεναι δὲ κατὰ μαζῶν,
Χριστοῦ ἐξεικόνισαν
τὸ μακάριον πάθος
προθυμότατα.

Νοὸς ἀνδρειότητι
130 τῶν μασθῶν τὴν ἐκτομὴν
Λουλοὺς καὶ Πρόβη ἤνεγκαν,
ὑπομονῆς ἐκτρέφουσαι καθαρῷ
τοὺς ἔμφρονας γάλακτι,
μιμουμένους τὰ τούτων
135 προτερήματα.

Ναὸς ἐχρηματίσας
τῆς τριάδος καθαρός,
μάρτυς σοφὲ Εὐστόχιε,
καὶ ἱερεὺς ἀναίμους φέρων θεῷ
140 θυσίας ἐν χάριτι
καὶ τυθεὶς ὡς ἀρνίον,
δόξης ἔτυχες.

θεοτ. Ὑμνοῦμεν, πανύμνητε,
καὶ δοξάζομεν πιστῶς
145 τὴν ὑπὲρ νοῦν λοχείαν σου,
δι᾽ ἧς ἡμεῖς ἐρρύσθημεν τῆς ἀρᾶς
καὶ τὴν αἰωνίζουσαν
εὐλογίαν κερδῆσαι
ἠξιώθημεν.

ᾠδὴ ζʹ. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

150 Νόμους θείους συνετήρησας, Εὐστόχιε,
θεοῦ τοῦ παντοκράτορος
καὶ ἐξέκλινας

126-127 τὸ μακάριον / ἐξεικόνιζον Σδ Px τὸ μακάριον / ἐξεικόνισαν Mf
130 μαστῶν Σδ Px 131 λουλῶ Σδ λουλᾶς Px 136-142 troparium
om. Mf 138 εὐστόχιε σοφὲ J 139 θεῷ] χριστῷ Σδ Px
heirm. ζʹ EE 159, n. 224, Joannis

παρανόμων πάντων τὰς βουλάς·
νομίμως ἀθλήσας δέ, σοφέ,
f. 88 155 τῶν αἰωνίων ‖ ἀγαθῶν
γέγονας μέτοχος.

Παρετάξασθε πρὸς πάσας τοῦ ἀλάστορος
τὰς ἀοράτους φάλαγγας,
κραταιούμενοι,
160 ἀθληταί, τῷ ὅπλῳ τοῦ σταυροῦ
καὶ ταύτας ὀλέσαντες στερρῶς,
ἀμαραντίνους ἐκ θεοῦ
στεφάνους ἤρασθε.

Ἐπαινέσωμεν Εὐστόχιον τὸν ἔνδοξον
165 καὶ Πρόβην καὶ Οὐρβάσιον
καὶ Γαϊανὸν
καὶ Λουλούν, τοὺς μάρτυρας Χριστοῦ,
πολλὰς ὑπομείναντας ποινὰς
καὶ πρωτοτόκων ἐν σκηναῖς
170 αὐλιζομένους ἀεί.

θεοτ. Νεκρωθέντα με, παρθένε παναμώμητε,
ἀμέτροις παραβάσεσι
ζωοποίησον,
τὴν ζωὴν τεκοῦσα τοῦ παντός,
175 καὶ σῶσον βοῶντα ἐμμελῶς·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Τῶν ῥημάτων τὰ βέλη,
μάρτυς Εὐστόχιε,

163 ηὕρατε Σδ Px 164-170 troparium om. Mf 167 λουλὸ Σδ λουλῶ Px 175 σῶσον] πᾶσαν Mf 176-177 post εὐλογητὸς Px, post εἶ Mf cetera om. 177 v. om. J Σδ
heirm. η΄ EE 159, n. 224, Joannis

169 Luc. 16,9 174 Joh. 11,25

180 ἀκοντίσας εὐστόχως
ἐν ταῖς ψυχαῖς τῶν ἐχθρῶν,
τούτους παντελεῖ
ἀπορίᾳ παρέπεμψας,
σῶος διαμείνας
185 καὶ ἄτρωτος, παμμάκαρ.

Ἀναρτήσει ἀδίκῳ
δεινῶς ξεόμεναι
καὶ λαμπάσι τὰ στέρνα
ἐκδαπανώμεναι,
190 Πρόβη καὶ Λουλοὺς
εὐχαρίστως ὑπέφερον,
ἀνυμνολογοῦσαι
Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεσμευθέντες τῷ πόθῳ
195 τοῦ παντοκράτορος,
δεδεμένοι πρὸς πεῖραν
βασάνων ἤχθητε,
πάσας δὲ ἐχθροῦ
μηχανὰς διαλύσαντες,
200 στέφος, ἀθλοφόροι,
ἐδέξασθε τῆς νίκης.

θεοτ. Ἀπορρήτῳ ἑνώσει
θεὸς σεσάρκωται
ἐξ ἁγνῶν σου αἱμάτων
205 ὁ ὑπερούσιος,
ἄχραντε, ἁγνή,
θεοτόκε πανύμνητε,
ἑαυτῷ ἑνώσας
τὰ πάλαι διεστῶτα.

183 ἀπωλείᾳ J παρέδωκας Px 185 τρισμάκαρ Σδ Px 187 ξεόμενοι Mf 190 λουλὸς Σδ λουλῶ Px 193 αἰῶνας om. Px 194-201 troparium om. Mf 194 Δεσμευθέντας Σδ 207 πανύμνητε] πανάμωμε Σδ Px

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

210 Ἰσχὺς ἀφήρηται τοῦ ἀλάστορος·
ταῖς τῶν σεπτῶν
καὶ θείων ἀθλοφόρων ἐνστάσεσι
f. 88v κατεβλήθη αὐτοῦ τὰ ‖ φρυάγματα·
τοῦτον γὰρ συμπατοῦντες
215 οἱ μεγαλόφρονες
χαίρουσιν, βραβεῖα ἐκ θεοῦ
νίκης δεξάμενοι.

Ὡς φῶς ἀστέρες ὡς φαεινότατοι
τὸν νοητὸν
220 κοσμεῖτε οὐρανόν, ἀξιάγαστοι,
πρωτοτόκων σκηναῖς αὐλιζόμενοι,
καὶ τῆς πολυθεΐας
σκότος διώκετε
καὶ τὰς διανοίας τῶν πιστῶν
225 καταλαμπρύνετε.

Συνών, Εὐστόχιε ἀξιάγαστε,
ὡς ἱερεὺς
καὶ μάρτυς ἀσωμάτοις δυνάμεσιν,
σὺν αὐταῖς τὸν σωτῆρα ἱκέτευε
230 λύσιν ἁμαρτημάτων,
βίου διόρθωσιν
ἅπασι δωρήσασθαι ἡμῖν
τοῖς εὐφημοῦσί σε.

Ἡμῶν, ἁγία πεντάς, μνημόνευε,
235 πανευκλεῶν
μαρτύρων, ἐν ἀρρήτῳ φαιδρότητι
τῇ τριάδι ἀεὶ παριστάμενοι,
ὅπως πταισμάτων λύσιν

---

heirm. θ' EE 159, n. 224, Joannis 216 χαίρουσα J 218-233 duo troparia om. Mf 229 αὐτοῖς Σδ Px

---

221 Luc. 16,9

ἅπαντες λάβωμεν,
240 οἱ ἐπιτελοῦντες τὴν φαιδρὰν
ὑμῶν πανήγυριν.

θεοτ. Φωνὴν προσάγομεν χαριστήριον
σοί, τῇ μητρὶ
τοῦ λόγου, ὥς ποτε ὁ ἀρχάγγελος,
245 « χαῖρε », λέγοντες, « θρόνε πυρίμορφε,
χαῖρε, φωτὸς νεφέλη,
χαῖρε, ἡ γέφυρα,
ἡ ἀπὸ θανάτου πρὸς ζωὴν
πιστοὺς μετάγουσα ».

239-241 ἅπαντες usque ad πανήγυριν] βίου διόρθωσιν / ἅπασι (ἅπασιν Σδ) δωρήσασθαι (δωρήσασθε Px) ἡμῖν / τοῖς εὐφημοῦσιν ὑμᾶς Σδ Px (cfr. vv. 231-233) 249 πιστοὺς] ἡμᾶς Mf

---

244 s. Luc. 1,28 245 Dan. 7,9 246 Is. 19,1 247 Is. 37,25

20 IUN. *CANON* XII

IN SANCTUM ASYNCRITUM MARTYREM

Synaxarium 757: ..... ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀσυγκρίτου.....

Crypt. Δ.α. XXIII = Cn, ff. 43v-45

Ὁ κανών· Ἰωάννου.

Ἦχος γ'.

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Ἐν θεοπνεύστοις ᾄσμασι πάντες
οἱ πιστοὶ δοξάσωμεν μεγαλοφώνως
Ἀσύγκριτον, τὸν γενναῖον ἀθλητὴν
καὶ στρατιώτην Χριστοῦ τοῦ βασιλέως.

5 Θωρακισάμενος τὴν πανοπλίαν ἐνθέως
f. 44 τοῦ ἁγίου || πνεύματος, γενναῖε μάρτυς,
κατέβαλες τὸν ἀντίπαλον ἐχθρόν,
ἐν τῷ σταδίῳ νομίμως ἐναθλήσας.

θεοτ. Τὴν μητέρα σου, Χριστέ, θεοτόκον
10 οἱ πιστοὶ δοξάζομεν ἀκαταπαύστως,
ὡς πρεσβεύουσαν ὑπὲρ πάντων ἡμῶν
τοῦ λυθρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Στερεωθεὶς ὁ μάρτυς τῇ θείᾳ πίστει
τοῦ σωτῆρος, πάσας τὰς τῶν τυράννων
15 μηχανὰς ἀπεκρούσατο τῇ ἀνδρείᾳ αὐτοῦ.

---

tit. Ἰωάννου sigla in margine legitur
heirm. α' EE 78, n. 110, Germani
heirm. γ' EE 78, n. 110, Germani

Τῇ ἀκλινεῖ σου πίστει τοὺς παρανόμους
ἐχθροὺς τῆς πίστεως ἐτροπώσω
καὶ τῶν πιστῶν πεφανέρωσαι, μάρτυς, στερέωμα.

θεοτ. * Ἡ τὸν θεὸν ἐν μήτρᾳ σου δεξαμένη
20 καὶ τεκοῦσα τοῦτον σεσαρκωμένον,
θεοτόκε, ἱκέτευε τοῦ σωθῆναι ἡμᾶς.

ᾠδὴ δ'. *Ἀκήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἐνδυσάμενος, ἔνδοξε,
τὴν πανοπλίαν τῆς εὐσεβείας,
τὰ τῆς πλάνης τόξα ἤμβλυνας
25 τῷ τῆς πίστεως θυρεῷ, μάρτυς Ἀσύγκριτε.

Σὺ τῷ ὄμβρῳ τῆς πίστεως
καθάπερ φοῖνιξ βλαστήσας, μάρτυς,
τῷ πυρὶ τῆς σῆς ἀθλήσεως
ἀπεξήρανας ἐμφανῶς τῆς πλάνης ἀκάνθας.

θεοτ. 30 Τὸ μυστήριον, ἄχραντε,
τῆς ὑπὲρ λόγον κυήσεώς σου
τὰ οὐράνια κατέπληξε
καὶ ἐφώτισε μυστικῶς τὰ ἐπίγεια.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱὲ τοῦ θεοῦ,*

Ἐν τῷ φωτὶ τῶν ἄθλων σου, μάρτυς Ἀσύγκριτε,
35 διασκεδάζεις τὴν πλάνην τῶν ἐχθρῶν ἐμφανῶς,
ἐν τῇ ἐκκλησίᾳ
τὰς ἀκτῖνας τῆς καρδίας καταλάμπων ἀεί.

19-21 θεοτ. MR VI, 113
heirm. δ' EE 79, n. 112, Germani 26 Σοὶ cd.
heirm. ε' EE 78, n. 110, Germani

---

27 Ps. 91,13 28-29 Ps. 117,12

Θεῷ θυσίαν ἄμωμον, μάρτυς, προσήγαγες
σεαυτὸν δι' ἀθλήσεως, Ἀσύγκριτε,
40 καὶ τῆς ἀσεβείας
f. 44v τὰς ‖ θυσίας ἐστηλίτευσας, μακάριε.

θεοτ. * Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε, θεοτόκε ἁγνή,
ὅτι Χριστὸν τὸν θεὸν ἡμῶν ἔτεκες,
τὸν ἐκ τῆς κατάρας
45 τῆς ἀρχαίας διὰ σοῦ ἐλευθερώσαντα.

ᾠδὴ ϛ'. *Ἐβόησα ἐν στεναγμοῖς ἀσιγήτοις*

Ἡ μνήμη σου
ἡ ὑπέρλαμπρος, μάρτυς,
τὰς διανοίας τῶν πιστῶν
κατεφαίδρυνε σαφῶς
50 ἀνυμνεῖν εὐσεβῶς
τὰ ἀγωνίσματα καὶ τὴν ἀνδραγαθίαν.

Ἐνίκησας
τὸν ἀρχέκακον ὄφιν
ἐν τῷ σταδίῳ, ἀθλητά,
55 καὶ τὸ στέφος κατ' αὐτοῦ
ἐκ θεοῦ ἐκομίσω
τὸ ἀμαράντινον, ὡραιότατε μάρτυς.

θεοτ. Θεός ἐστιν
ὁ τεχθεὶς ἐκ παρθένου
60 εἰς ἀναγέννησιν ἡμῶν,
καὶ ἐφώτισεν ἡμᾶς
εἰς ἐπίγνωσιν αὐτοῦ
καὶ δοξάζομεν τὴν αὐτοῦ εὐσπλαγχνίαν.

42-45 θεοτ. TR 670 45 τῆς ἀρχαίας] τοὺς ἀνθρώπους TR
heirm. ϛ' EE 79, n. 111, Germani

ᾠδὴ ζ'. *Τὴν ἐν καμίνῳ φλόγα*

Μὴ προσκυνήσας εἰκόνα
65 τῆς πλάνης, ἀθλοφόρε,
ἐν τῇ φλογὶ τῶν βασάνων
Χριστὸν ἐδοξολόγεις.

Ἐν τοῖς τῶν ἄθλων ἀγῶσι
κατῄσχυνας ἀνδρείως
70 τὴν τῶν τυράννων μανίαν,
Ἀσύγκριτε θεόφρον.

θεοτ. * Τὴν μετὰ τόκον παρθένον
ἀρρήτως φυλαχθεῖσαν,
ὡς τοῦ κυρίου μητέρα
75 ὑμνήσωμεν ἀπαύστως.

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων*

Ἀναλαβὼν
προθυμίαν ὁ μάρτυς
δι' ἀγγέλου θεοῦ,
ἀκλινῶς τὸν ἀγῶνα
80 τῇ πίστει τετέλεκεν,
τῆς ἀθλήσεως τὸ φῶς,
τῆς δικαιοσύνης
εἰληφὼς τοὺς στεφάνους.

Διαδραμών,
85 παμμακάριστε μάρτυς,
χώρας καὶ πόλεις,
ὑπὸ τῶν παρανόμων

heirm. ζ' EE 77, n. 109, Andreae 72-75 θεοτ. MR VI, 117
heirm. η' EE 78, n. 110, Germani

64-67 Cfr. Dan 3,1-90

αἰκισμοὺς ὑπέμεινας
εὐχαρίστῳ καρδίᾳ
90 καὶ τοὺς ἀχαρίστους
ἐνέπλησας αἰσχύνης.

θεοτ. Χαῖρε, σεμνή,
δυσανάβατον ὕψος
τῶν βροτῶν ὀφθαλμοῖς·
95 χαῖρε, ὄμμασι νόων
βάθος δυσθεώρητον·
f. 45 ‖ χαῖρε, μήτηρ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

ᾠδὴ θ'. *Σὲ τὴν ἀθάνατον πηγὴν*

100 Συνὼν ἐν ὕψει τῆς πίστεως Χριστῷ,
τὴν ὑψαύχενον ἔπαρσιν
τῶν τυράννων καθεῖλες ἀθλήσει σου,
τοῦ ὑψίστου γενόμενος
στρατιώτης γενναιότατος.

105 Περιελθὼν καθὼς Παῦλος ὁ σοφός,
ἀθλοφόρε Ἀσύγκριτε,
τοῦ ἐχθροῦ τῶν παγίδων περίσωζε
ἀεὶ τοὺς προστρέχοντας
σῇ σκέπῃ, παμμακάριστε.

θεοτ. 110 * Σὲ τὴν ἐκ ῥίζης Ἰεσσαὶ
καὶ Δαυῒδ τοῦ προπάτορος
ἐκβλαστήσασαν ῥάβδον, πανάχραντε,
οἱ πιστοὶ μεγαλύνομεν,
ὅτι σῴζεις τὰς ψυχὰς ἡμῶν.

---

heirm. θ' ΕΕ 78, n. 110, Germani 100 Συνὼν scripsi: Σὺ τὸν cd. Χριστῷ] χριστὲ cd. 110-114 θεοτ. TR 294 113 οἱ πιστοὶ] ἁγνὴ TR

---

107 I Tim. 3,7 110-112 Is. 11,1

IN SANCTUM IULIANUM ANAZARBENUM MARTYREM IN CILICIA

Synaxarium 762: .....ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ. Οὗτος ἦν ἐκ τῆς Ἀναζαρβέων πόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας, υἱός τινος βουλευτοῦ, μητρὸς δὲ χριστιανῆς· παρ' ἧς τὴν κατὰ Χριστὸν εὐσέβειαν μεμαθηκὼς καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν σχολάσας, ἐν τῷ ὀκτωκαιδεκάτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας διαβληθείς, προσήχθη Μαρκιανῷ τῷ ἡγεμόνι. Καὶ μὴ καταδεξάμενος θῦσαι τοῖς εἰδώλοις, ἐν διαφόροις μέρεσι τοῦ σώματος τύπτεται. Εἶτα ἐν τῇ φρουρᾷ τεθεὶς καὶ τῇ μητρὶ συμβούλῳ χρησάμενος καὶ ἐμμένειν εἰπὼν καὶ ἐναποθνήσκειν τῇ εἰς Χριστὸν πίστει, καὶ ἐν σάκκῳ βληθεὶς μεστῷ ψάμμου καὶ ἑρπετῶν ἰοβόλων καὶ λοιπῶν ὄφεων, μέσον τοῦ πελάγους ἀφίεται, καὶ οὕτως τὸν τοῦ μαρτυρίου στέφανον δέχεται. Τοῦτον καὶ ὁ τίμιος καὶ μέγας Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν.

Hierosol. Sab. 70 = J, ff. 91v-93v
Crypt. Δ.α. XXIII = Cn, ff. 45v-46v
Barber. gr. 377 = Bl, ff. 120v-127

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Ἰουλιανὸν ᾄσμασιν περιστέφω· ⟨ὁ⟩ Ἰωσήφ.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Ἱερὸν συνάθροισμα Χριστοῦ
ὕμνοις μακαρίσωμεν
χαρμονικῶς ἱερωτάτοις σήμερον

---

tit. ἕτερος κανὼν εἰς τὸν ἅγιον μάρτυρα ἰουλιανόν: ~ ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς J, qui acrostichidem autem obliterat et sigla Ἰωσὴφ in margine praebet ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· ..... et sigla Ἰωσὴφ in margine Cn καθίσματα καὶ οἱ κανόνες τῆς ἤχου· καὶ ὁ παρὼν εἰς ς' οὗ ἡ ἀκροστιχὶς ..... Bl ὁ ante Ἰωσὴφ cdd. om., sed ex tropario vv. 162-170 deducitur in acrostichide initialis θεοτ. odae θ' (vv. 216-224) abundat ita ut nomen auctoris Ἰωσὴφφ appareat
heirm. α' ΕΕ 34, n. 46, Joannis 1 Χριστοῦ] πιστῶν Bl 2 εὐφημήσωμεν Cn 3 χαρμονικοῖς Cn

τὸν γενναῖον μάρτυρα,
5 ἱερεύσαντα ἑαυτὸν δι' ἀθλήσεως
καὶ τῆς ἀνιέρου
f. 92 ‖ πλάνης τὴν ἀχλὺν ἐξαφανίσαντα.

Ὁλοτρόπῳ νεύσει πρὸς θεόν,
πάνσοφε, θεούμενος
10 καὶ καθαραῖς αὐγαῖς περιχεόμενος,
θεοῖς οὐ προσένειμας
ἀλογωτάτην, θεοφόρε, προσκύνησιν,
θῦμα δὲ εὐῶδες,
μάρτυς, σεαυτὸν Χριστῷ προσήγαγες.

15 Ὑπελθὼν προθύμῳ λογισμῷ,
μάρτυς, τὸ μαρτύριον,
τοῦ δυσμενοῦς τὴν ἐπηρμένην ἔνστασιν
ὅλην ἐταπείνωσας
καὶ τὴν ἄλογον τοῦ διώκτου ἀπόνοιαν
20 λόγοις εὐσεβείας,
Ἰουλιανέ, κατεστηλίτευσας.

θεοτ. Λυτρωθέντες τῆς προγονικῆς,
πάναγνε, συμπτώσεως
τῷ τοκετῷ τῆς ὑπὲρ νοῦν λοχείας σου,
25 «χαῖρέ» σοι κραυγάζομεν,
ἀπειρόγαμε, τῶν μαρτύρων τὸ καύχημα
καὶ τῶν ἀποστόλων
καὶ τῶν προφητῶν τὸ σεμνολόγημα.

ᾠδὴ γ'. *Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον, κύριε,*

Ἱδρύματα τῆς πλάνης τῇ στερροτάτῃ πίστει σου
30 καταβαλών, ἀνήγειρας

5 ἱερεύσας τα Bl 7 ἐξαφανίσασα J ἐξαφανίζοντα Cn 12 θεόφρον Bl 14 προσήγαγεν J 16 τὸ μαρτύριον] ἰουλιανὲ Bl 17 τοῦ δυσμενοῦς om. Bl

heirm. γ' EE 34, n. 46, Joannis 29 τῇ] ἡ Bl vv. 30-123, disiecto folio, desiderantur in Cn

εὐσεβείας σεαυτόν, ἔνδοξε,
καὶ εἰκόνα καὶ στήλην τοῖς τιμῶσί σε.

Αἰκίαις σφοδροτάταις ὑποβαλόντες, ᾤοντο
τὸν ἀθλητὴν τῆς κρείττονος
35 περιτρέψαι οἱ ἐχθροὶ στάσεως,
ἀλλ' ἠλέγχθησαν μάτην φρυαττόμενοι.

Νεκρώσεως τῷ ξέεσθαι τοὺς χιτῶνας ἤμειψας
περιβολαίου χάριτι
ὑφανθέντος, ὃ στολισάμενος,
40 σὺν ἀγγέλοις χορεύεις, ἀξιάγαστε.

θεοτ. Ὁ λόγῳ συστησάμενος τῶν ἀγγέλων τάγματα,
διὰ φωνῆς εἰσέρχεται
ἀρχαγγέλου ἐν τῇ νηδύι σου,
ἀλογίας με σώζων, μητροπάρθενε.

35 ἐχθροὶ] τύραννοι Bl 37 τῷ] τοῦ J 40 χορεύοις emendatum ex χορεύεις in Bl

post oden γ' refert Bl:

Κάθισμα. Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν μυστικῶς*
Τὴν βασιλείαν τοῦ θεοῦ ἐπιποθήσας,
τὰς τῶν τυράννων ἀπειλὰς καὶ τὰς θωπείας,
ἀνδρειότατε μάρτυς, οὐκ ἐπτοήθης,
ἀλλ' ἔστης ἐν τῷ σταδίῳ, ὁμολογῶν
5 τοῦ λόγου τὴν πρὸς ἀνθρώπους καταλλαγήν·
ὅθεν πόνους ὑπέμεινας
καὶ πρὸς τὴν ἄπονον ζωὴν
μετέβης γηθόμενος·
διὰ τοῦτο τιμῶμέν σε.

et ἕτερον κάθ. ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,* Ὑδάτων πνιγμονῇ MR V, 328, quod, praeter Bl, ante canonem J (f. 88v) quoque et Cn (f. 45) referunt, Bl autem, unus ex cdd., haec θεοτ. et σταυροθεοτ. inedita ostendit:

θεοτ. ὅμοιον·
Ὑδάτων ὡς ῥοαὶ θαλαττίων τὰ πάθη
συρρέουσι δεινῶς
τὴν ψυχήν μου ποντίσαι
ὁρμώμενα τοῦ σώματος
5 ἀκαθέκτοις ὁρμήμασι·
κόρη, πρόφθασον
καὶ ψυχοφθόρου με ζάλης
ἀφαρπάσασα,

37-38 Ps. 101,27; Hebr. 1,12 42-43 Luc. 1,26-36

ᾠδὴ δ'. *Ἐλήλυθας*
ἐκ παρθένου οὐ πρέσβυς, οὐκ ἄγγελος,

45 Νευρούμενος
λογισμὸν ἐκαρτέρεις, τεινόμενος
πληγαῖς τε βαλλόμενος,
ἐπὶ σταυροῦ τὸν τανύσαντα
χεῖρας ἐκμιμούμενος
f. 92v 50 καὶ τὴν αὐτοῦ εἰκο‖νίζων, μάρτυς, νέκρωσιν.

Ἀσάλευτον
βασιλείαν λαβεῖν προελόμενος,
ἀτίνακτος ἵστασο
τοῖς αἰκισμοῖς προσκλυζόμενος,
55 μάρτυς καρτερώτατε,
ἀνδρειοφρόνως τῷ φθόνῳ συμμαχόμενος.

Συνέτριψας
καὶ ὡς χοῦν παντελῶς κατελέπτυνας
τῆς πλάνης τὸ φρύαγμα,
60 τοῖς αἰκισμοῖς συντριβόμενος
καὶ περιρρεόμενος
τοῖς ὀχετοῖς τῶν αἱμάτων, πανaοίδιμε.

θεοτ. Μὴ λύσας σου
παρθενίας, παρθένε, τὰ σήμαντρα,
65 ἐκ σοῦ ἀποτίκτεται

πρὸς σωτηρίας λιμένα
10 ὁδήγησον, ἄχραντε.
σταυροθεοτ. ⟨ὅμοιον⟩·
Τὸ ξύλον τοῦ σταυροῦ φυτευθὲν ἐν Κρανίῳ
ἐγένετο βροτοῖς
ἀφορμὴ σωτηρίας·
ἐν τούτῳ γὰρ βουλήσει σου
5 σταυρωθείς, ἀναμάρτητε,
τὴν ἀθάνατον
ζωὴν παρέσχες τῷ κόσμῳ·
ἐν τῷ πάσχειν δὲ
« μόνην ἐμὲ τραυματίζεις »,
10 ἡ πάναγνος ἔλεγεν.

heirm. δ' EE 34, n. 46, Joannis 55 καρτερώτατα Bl

ὁ πλαστουργήσας τὸν ἄνθρωπον,
λύων τὸ κατάκριμα
καὶ συνδεσμῶν ἀφθαρσίᾳ τὸ ἀνθρώπινον.

ᾠδὴ ε'. *Ὁ φωτισμὸς*
τῶν ἐν σκότει κειμένων

Ἀποσκοπῶν
70 λογισμῷ στερροτάτῳ
τὰς ἀντιδόσεις
τὰς ἐπουρανίους, γενναῖε μάρτυς,
τὰς ἀλγηδόνας
καὶ στρεβλώσεις καὶ πόνους
75 ὑποφέρεις,
οἰακιζόμενος
ἄπονον πρὸς λῆξιν δυνάμει τοῦ πνεύματος.

Σὺ ἀπηνῶς
πτερνιζόμενος, μάκαρ,
80 ἀνδρειοτάτως
φέρεις τὸ ἐπίπονον τῆς βασάνου,
καθυποτάττων
ταῖς ὡραίαις σου πτέρναις
καὶ συντρίβων
85 τὸν πολυμήχανον
πάλαι παραδείσου Ἀδὰμ τὸν πτερνίσαντα.

Ἰχνηλατεῖς
τὸ σωτήριον πάθος
γενναιοφρόνως·
90 σὺ γὰρ ἀπηρνήσω ψυχὴν καὶ σῶμα
καὶ πρὸς θηρία
καὶ σφαγὰς καὶ βασάνους

---

heirm. ε' EE 34, n. 46, Joannis 68 ἀφθαρσί Bl 83 ὡραίοις J Bl
86 παραδείσω Bl

---

85 s. Cfr. Gen. 3,1-9

ὁλοψύχως
σαυτὸν ἐκδέδωκας,
95 Ἰουλιανέ, τὴν φθορὰν τιναξάμενος.

θεοτ. * Νύμφη θεοῦ,
ἣν κατῴκησε μόνος
ὁ θεῖος λόγος,
ἅπασαν φωτίζων τὴν οἰκουμένην,
100 λάμψον μοι αἴγλην
ἀληθοῦς μετανοίας,
αὔγασόν μοι
σωτηριώδεις αὐγάς,
λύουσα παθῶν μου τὸ σκότος, πανάμωμε.

ᾠδὴ ϛʹ. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

105 Προσταγαῖς ὠμοτάταις βληθέντος σου
f. 93 σάκκῳ καὶ || βυθῷ σὺν θηρσίν, ἐπανέδωκας
τῷ πλαστουργῷ τὸ πνεῦμά σου,
ἀθλοφόρε Χριστοῦ γενναιότατε.

Εὐπλωΐσας ταῖς αὔραις τοῦ πνεύματος,
110 τῆς πολυθεΐας διῆλθες κλυδώνιον
καὶ τοὺς λιμένας ἔφθασας,
ἀθλοφόρε, τοὺς ἄνω, γηθόμενος.

Ῥαπιζόμενος, μάρτυς, καὶ αἵματι
σοῦ περιρρεόμενος, δαιμόνων πρόσωπα
115 σαῖς καρτεραῖς ἐνστάσεσιν
ἀπερράπισας σθένει τοῦ πνεύματος.

θεοτ. Ἰσουργὸν τῷ τεκόντι καὶ σύνθρονον
λόγον ἀπεκύησας διπλοῦν ταῖς φύσεσι
καὶ ἐνεργείαις, ἄχραντε,
120 ὃν ἱκέτευε σῶσαι τοὺς δούλους σου.

96-104 θεοτ. PID μαʹ 103 αὐγὴν σωτήριον Bl
heirm. ϛʹ EE 34, n. 46, Joannis 105 ὠμοτάτως J 110 τῆς] τὸ Bl

ᾠδὴ ζʹ. *Ἀντίθεον πρόσταγμα
παρανομοῦντος*

Σοφαῖς ἀντιθέσεσι
καταπαλαίσας
κακίας τὸν ἄρχοντα
εἰκαίως φρυαττόμενον,
125 τὸν ἄδικον θάνατον,
μάρτυς, ὑπέμεινας,
διαπορθμευόμενος σαφῶς
ἀθανασίας πρὸς τὰ σκηνώματα.

Τῆς πλάνης τοὺς ἄνθρακας
130 ἐναποσβέσας
τοῖς ῥείθροις τοῦ αἵματος,
τῇ ἐκκλησίᾳ γέγονας
πηγὴ ἀνεξάντλητος
θείων ἰάσεων,
135 μέλπων ἐμμελέστατα· « ὁ ὢν
εὐλογημένος καὶ ὑπερένδοξος ».

Ἐξέστησαν τάξεις σε
τῶν ἀσωμάτων
ἐν σώματι βλέπουσαι
140 αὐτοῖς συναμιλλώμενον·
ᾐσχύνθη δαιμόνων δὲ
μάταιον φρύαγμα
τῇ ἀρραγεστάτῃ σου σαφῶς
νενικημένον πίστει, πανεύφημε.

θεοτ. 145 Φωτὸς οἰκητήριον,
θεογεννῆτορ,
ἡ μήτρα σου γέγονεν,
δι᾽ οὗ φῶς ἐθεάσαντο

---

heirm. ζʹ EE 34, n. 46, Joannis 123 ex verbis τὸν ἄρχοντα finem habet lacuna, quare iterum utimur cd. Cn 127 διαπορευόμενον Bl 136 καὶ ὑπερένδοξος om. Cn 144 πανόλβιε Cn 146 παρθένε Bl

οἱ σκότει καθεύδοντες
150 τῆς ἀγνωσίας ποτέ·
ὅθεν ὡς μητέρα σε θεοῦ
ἡ κτίσις πᾶσα δοξάζει, δέσποινα.

ᾠδὴ η′. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὡραιωθεὶς ταῖς καλλοναῖς
τῶν ἀγώνων καὶ σαφῶς
155 πεποικιλμένος
τῶν στιγμάτων τῷ κάλλει,
f. 93v τῷ ἐρα‖στῇ σου Χριστῷ
παρέστης,
στέφος κομισάμενος
160 νίκης, ἀθλοφόρε,
εἰς πάντας τοὺς αἰῶνας.

Οὐ κατέποθη τῷ βυθῷ
τὸ ἀθλῆσαν καρτερῶς
σῶμά σου, μάρτυς,
165 τῇ δὲ γῇ ἀπεδόθη,
ἀναπηγάζον ἡμῖν
θαυμάτων
ἀείζωα νάματα,
Ἰουλιανέ,
170 ἀθλητὰ τῆς ἀληθείας.

---

heirm. η′ EE 35, n. 47, Joannis 154 ἀγώνων] ἁγίων Cn 155 πεποιλϊμένος Bl 156 τῶν κτισμάτων τὰ κάλλη J 161 τοὺς αἰῶνας om. Cn αἰῶνας om. Bl

---

162-179 B. LATYŠEV, *Menologii anonymi byzantini... quae supersunt* II (Petropoli 1912), 86: ..... καὶ τὴν ψυχὴν εἰς χεῖρας ἀγγέλων, ὦ πανθαύμαστε μάρτυς Ἰουλιανέ, παραθέμενος, ἐν Ἀντιοχείᾳ τῆς Κιλικίας τὸ λείψανον ἐκβρασθῆναι ποιεῖς ἐν τόπῳ καλουμένῳ Βαφείῳ, πολύτιμον ὄλβον καὶ φυλακτήριον αὐτὸ τοῖς ἐκεῖσε παρασχόμενος. ὃ δὴ γυνή τις εὐσεβής, χηρείᾳ συζῶσα, πιστῶς ἀνελομένη φιλοτίμως τε καὶ κηδεύσασα καὶ τιμήσασα καὶ πᾶσιν ἄλλοις δεξιωσαμένη καλοῖς, πρός τινα σεμνὸν κατέθετο τόπον, δαιμόνων ἀποτροπήν, νόσων παντοίων ἴαμα καὶ πάσης κακώσεως ἀμυντήριον.
PG 117,353 (*Menologium Basilii imperatoris*): Ἐξεῤῥίφη δὲ τὸ λείψανον αὐτοῦ ἐν Ἀλεξανδρείᾳ· καὶ ἐτάφη παρὰ γυναικὸς χήρας τινὸς εὐλαβοῦς.

Ἰδοῦσα λείψανον τὸ σὸν
θαλαττίων ἐκ βυθῶν
ἡ πιστοτάτη
ἐκριφὲν παραδόξως,
175 ἀνελομένη σπουδῇ
οἰκίσκῳ
φυλάττει, προστάτην σε
μέγιστον πλουτοῦσα
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. 180 Ὡς πλατυτέρα οὐρανῶν
τὸν ἀχώρητον παντὶ
χωρεῖς ἐν μήτρᾳ
καὶ διπλοῦν ἐνεργείαις
ὁμοιωθέντα ἡμῖν,
185 παρθένε,
τίκτεις, ἀπειρόγαμε,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ′. *Ἀνάρχου γεννήτορος*

Συνήφθης στρατεύμασιν
190 ἐπουρανίοις, πάνσοφε,
καὶ χοροῖς ἀθλοφόρων
συνεπαγάλλῃ ἀεί,
πρόσωπον πρὸς πρόσωπον βλέπων
τὸν ἐραστὴν
195 σοῦ καὶ φωτοδότην,
καὶ δόξης καὶ χάριτος
καὶ φωτὸς ἀποπληρούμενος.

---

175 ἀνειλομένη J ἀνηλαμένη Cn 177 προστάτην σε] προστάτη ἐκρηφὲν παραδόξως Bl 179 εἰς πάντας τοὺς] θεόφρον εἰς Cn τοὺς αἰῶνας om. Bl 180 οὐρανοῦ J 183 καὶ διπλοῦν] ταῖς διπλαῖς Bl 186 τίκτεις ἀπειρόγαμε] ὅνπερ καὶ γεγέννηκας Bl 188 v. om. Cn Bl τοὺς αἰῶνας om. J
heirm. θ′ EE 35, n. 46, Joannis 191 ἀθλοφόρων] ἀποστόλων J 193 βλέπων om. Bl

---

193-195 Cfr. I Cor. 13,12 et II Cor. 3,18

Ἡ πόλις τὸ σῶμά σου
Ἀλεξανδρέων, ἔνδοξε,
200 θαλαττίων ἐκ κόλπων
ἀναδιδόμενον
ὑποδεξαμένη, κατέχει
ὡς ἱερὰν
πηγὴν ἰαμάτων,
205 ὡς θεῖον θησαύρισμα,
ἐτησίως σε γεραίρουσα.

Φωτὶ προσωμίλησας
τῷ θείῳ, φῶς γενόμενος,
καὶ φωτίζεις τοὺς πόθῳ
210 ἐπιτελοῦντάς σου,
Ἰουλιανέ, τὴν ἁγίαν
καὶ φωταυγῆ
ἀθλήσεως μνήμην,
παθῶν ἐξαιρούμενος
215 καὶ ποικίλων περιστάσεων.

θεοτ. * Φιλάνθρωπον κύριον
καὶ μόνον πολυέλεον
ὑπὲρ νοῦν τε καὶ λόγον
ἀποκυήσασα,
220 τοῦτον ἐκδυσώπει, παρθένε,
τῇ φοβερᾷ
τῆς κρίσεως ὥρᾳ
ῥυσθῆναι τοὺς πίστει σε
θεοτόκον καταγγέλλοντας.

---

199 ἔνδοξε ἀλεξάνδρεια Bl   200 ἐκ] ἐν Bl   201 ἔξω γενόμενον Bl
207-215 troparium om. Cn   207 προσομιλήσας Bl   216-224 θεοτ. PID μβ'
223-224 ῥυσθῆναι κολάσεως / καὶ πυρὸς τοῦ αἰωνίζοντος PID   223 σε om. Bl

---

198-206 Cfr. notationem ad vv. 162-179.

IN SANCTUM EUSEBIUM SAMOSATENUM EPISCOPUM

Synaxarium 763: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Εὐσεβίου ἐπισκόπου Σαμοσάτων. Οὗτος ἦν ἐπὶ Κωνσταντίου τοῦ βασιλέως ζηλωτὴς διάπυρος τῆς ὀρθοδόξου πίστεως· τοσοῦτον δὲ αὐτῷ περιῆν ἀνδρεία ψυχῆς καὶ τῶν παρόντων ὑπεροψία καὶ διὰ σπουδῆς ἐποιεῖτο, ὅπως τὰ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας εἰς ἐπίδοσιν ἔλθοι, καίπερ τοῦ βασιλέως ἀντιδοξοῦντος, ὡς οὐχ ἕτερός τις. Καί ποτε τοῦ Κωνσταντίου τὴν δεξιὰν αὐτοῦ χεῖρα τεμεῖν ἀπειλήσαντος, εἰ μὴ τὸ ὑπὲρ τοῦ μεγάλου Μελετίου ψήφισμα κατέχων αὐτὸς προτείνηται καὶ προδῷ, ἀμφοτέρας τὰς χεῖρας ἐπανέτεινε, ὡς ἡδέως τὴν αὐτῶν δεξόμενος ἐκτομὴν ἢ τὸ ζητούμενον προδοῦναι καὶ συμπροδοῦναι αὐτῷ τὴν εὐσέβειαν. Τοῦτον τὸν ὅσιον πατέρα ἡμῶν μετὰ Κωνστάντιον καὶ Ἰουλιανὸν Οὐάλης τὴν ἀρειανικὴν κακοπιστίαν νοσῶν τοῦ θρόνου ἐξήλασε καὶ διάγειν ὑπερόριον παρὰ τὸν Ἴστρον ποταμὸν κατεδίκασεν. Μετὰ δὲ τὴν τοῦ Οὐάλεντος τελευτὴν πρὸς τὴν λαχοῦσαν ὁ ἅγιος πόλιν ἐπανιὼν καὶ μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ τὰς ἐπ' αὐτοῖς νίκας μαρτυρικῆς ἔτυχε τελευτῆς, γυναικὸς κακοδόξου καὶ τὰ Ἀρείου φρονούσης κέραμον ἀπό τινος στέγους ἐπὶ τὴν κεφαλὴν τοῦ ἁγίου βαλούσης· ἣν καὶ συγγνώμης ἠξίωσε, τὸν ἴδιον δεσπότην καὶ τὸν πρωτομάρτυρα μιμησάμενος Στέφανον .....

Sinait. gr. 620 = Σγ, ff. 106v-108v
Crypt. Δ.α. XXIII = Cn, ff. 47-48v

Ὁ κανών· ⟨ποίημα Γεωργίου⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ παραδόξως βυθίσαντι

Τῆς κρείττονος προμηθείας
τῇ ἐπινεύσει Εὐσέβιος,
ὁ σοφὸς ἱεράρχης,
ποιμὴν ἐχρηματίσεν
5 ἁγνὸς τῆς ἐκκλησίας Χριστοῦ.

---

tit. nomen auctoris rubricae cdd. tacent, sed ex theotokiis deducitur Γεεωργίου in Σγ, qui oden β' refert, Γεωργίου in Cn
heirm. α' EE 95, n. 134, Joannis   5 ἀγνῶς Σγ   τῇ ἐκκλησίᾳ Cn

Ὡς ἄνθη τοὺς θείους λόγους
ἐκ τῶν λειμώνων δρεψάμενος
τῆς γραφῆς, ἱεράρχα,
γλυκεῖαν ἐσκεύασας
10 ἐκ τούτων τὴν τρυφὴν τοῖς πιστοῖς.

Τὸ ἔνδυμα καὶ τὴν ψῆφον
τῆς λειτουργίας δεξάμενος
ἐκ θεοῦ, ἱεράρχα,
τούτῳ ἱερούργησας
15 ἁγνῶς, πάτερ Εὐσέβιε.

θεοτ. Γεγόναμεν, θεοτόκε,
υἱοὶ θεοῦ θείᾳ χάριτι
διὰ τοῦ ὑπὲρ λόγον
τόκου σου, οἱ πόθῳ σε
20 ὑμνοῦντες θεομήτορα.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Ἔφραξας δυσσεβούντων τὰ χείλη
⟨τοῖς⟩ ἀντιρρήτοις σου λόγοις, Εὐσέβιε.

Ἤνοιξας θησαυροὺς τῶν δογμάτων
f. 107 καὶ τοὺς ‖ πιστοὺς κατεπλούτισας, ὅσιε.

25 Ἔτεμες τῇ μαχαίρᾳ τῶν λόγων
τὰς κεφαλὰς τῶν δυσφήμων, Εὐσέβιε.

Δυσώπησον τὸν Χριστόν, ἱεράρχα,
ὑπὲρ τῶν πίστει τελούντων τὴν μνήμην σου.

θεοτ. Ἔχων σε ἐν ψυχῇ, θεοτόκε,
30 διὰ παντὸς συντηροῦμαι ἀλώβητος.

---

10 ἐκ usque ad τρυφὴν] ἐν τούτοις τὴν γραφὴν Cn 14 ἐν τούτω Cn 18 τοῦ] τὸ Cn 19 τοῦ τόκου σου Cn
oden β' om. Cn
heirm. β' Pent^II μθ' 22 τοῖς metri causa add.

---

21 Cfr. Ps. 57,7; Dan. 6,22; Hebr. 11,33 23 Cfr. Deut. 28,12; Matth. 2,11 25 Cfr. Is. 49,2

ᾠδὴ γ'. *Ἐν κυρίῳ θεῷ μου*
ἐστερεώθη ἡ καρδία μου

Συμμαχῶν, ἱεράρχα,
τῇ ἀληθείᾳ, ἐπολέμησας
τοῦ ψεύδους τοὺς προστάτας
καὶ κατ' αὐτῶν τρόπαια ἔστησας.

35 Εὐσεβείας ἐραστὴς
κλήσει καὶ χρήσει, πάτερ ὅσιε,
ὑπάρχων, δυσσεβοῦντας
στερρῷ φρονήματι διήλεγξας.

Ἐν πελάγει τοῦ βίου,
40 πάτερ, πυρσεύων, θείοις λόγοις σου
εἰς ὅρμους εὐσεβείας
ἀνθρώπους ἴθυνας, Εὐσέβιε.

θεοτ. Ἐν θαλάσσῃ τοῦ βίου
χειμαζομένους ἡμᾶς, ἄχραντε,
45 εἰς εὔδιον λιμένα
ἐγκαθορμίσαις κυβερνήσει σου.

ᾠδὴ δ'. *Τῆς σῆς ἐπὶ τῆς γῆς παρουσίας, Χριστὲ ὁ θεός,*

Τῆς τριάδος τῇ αἴγλῃ, πάτερ ὅσιε,
καταλαμπόμενος, Ἀρείου ἐσκέδασας
τὰ τῆς σκοτίας δόγματα,
50 φωτίζων ἐνθέοις λόγοις τὴν ποίμνην σου.

Τῷ πατρὶ ὁμοούσιον Χριστὸν τὸν θεὸν
παρρησίᾳ, ἱεράρχα Εὐσέβιε,
διδάσκων, κατεφώτισας
λαοὺς ὀρθοδοξίας τοῖς δόγμασιν.

---

heirm. γ' EE 104, n. 146, Germani 36 χρίσει Cn 38 ἐξήλεγξας Cn 41 εἰς ὅρμον Cn 46 ἐγκαθορμήσας κυβέρνησον Cn, qui σου om.
heirm. δ' EE 104, n. 146, Germani ἐπὶ γῆς EE 54 τοῖς δόγμασιν] τοῖς λόγοις σου Σγ

55 Ἁγνῶς ἱερουργῶν τῷ ποιητῇ καὶ θεῷ,
παρ᾽ αὐτοῦ θείων ἐμφάσεων ἔτυχες
f. 107v καὶ γεγηθὼς ἐ‖κραύγαζες·
« δόξα τῇ δυνάμει σου, κύριε ».

θεοτ. Ὡς πύλη νοητὴ τοῦ βασιλέως Χριστοῦ,
60 θεοτόκε, ὑπὲρ νοῦν χρηματίσασα,
εἰσόδους ἡμῖν ἄνοιξον
πρὸς τοῦτον ἱκεσίαις μητρῴαις σου.

ᾠδὴ ε΄. *Ὁ ἀνατείλας τὸ φῶς*

Ὁ τοῦ φωτὸς χορηγὸς
σὲ οἰκείαις ἀκτῖσιν
65 ἐφώτισεν ἐν κόσμῳ,
πάτερ Εὐσέβιε,
Ἰησοῦς ὁ υἱὸς τοῦ θεοῦ.

Τὰς φρυγανώδεις φωνὰς
τῶν αἱρέσεων, πάτερ,
70 πυρὶ τῶν θείων λόγων
ἔφλεξας καὶ ἠύγασας
φωτισμὸν νοητὸν τοῖς πιστοῖς.

Τῆς ἐκκλησίας Χριστοῦ
νοουμένους, θεόφρον,
75 τῶν λόγων βακτηρίᾳ
θῆρας ἀπεδίωξας
καὶ ἀσινῆ ταύτην διετήρησας.

θεοτ. Ῥάβδον ἰσχύος, ἁγνή,
καὶ δυνάμεως θείας
80 πιστοί σε κεκτημένοι,
τῶν ἐχθρῶν τροπούμεθα
προσβολὰς καὶ πολέμους ἀεί.

---

58 post δόξα Cn, post δυνάμει Σγ cetera om.
heirm. ε΄ ΕΕ 104, n. 146, Germani 70 λόγων om. Σγ 77 ταύτην] τούτων Cn 78 Ῥάβδος Cn

---

59 Ez. 44,1-2 68-71 Cfr. Is. 47,14 75 Cfr. Ex. 12,11; Ps. 22,4
78 Num. 17,16 ss.

ᾠδὴ ϛ΄. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

Τὰς ἀρετὰς ὥσπερ κόσμον
περικείμενος, μάρτυς Εὐσέβιε,
85 φαιδρῶς τῷ δεσπότῃ τῶν ὅλων
παρέστης, ἐπιτελῶν
θεῖα μυστήρια.

Τῷ τῶν αἱρέσεων σάλῳ
ἐπετίμησας, πάτερ Εὐσέβιε,
90 καὶ εἰς γαληνοὺς τὴν σὴν ποίμνην
ὡδήγησας λιμένας
ἐνθέου πίστεως.

Τῶν παρανόμων γραφέων
χεῖρας ἔκοψας, πάτερ Εὐσέβιε,
95 καὶ τῆς ἀληθείας ζωγράφος
ἐδείχθης χρωματουργῶν
δόγματα ἔνθεα.

f. 108 θεοτ. ‖ Γένος ἀνθρώπων, παρθένε,
ὡς οἰκεῖον γεραίρει σε καύχημα·
100 διὰ γὰρ τοῦ θείου σου τόκου
θεῷ προσῳκειώθη,
τῷ σε δοξάσαντι.

ᾠδὴ ζ΄. *Ὁ ἐν τῷ ὄρει*
Μωϋσῇ συλλαλήσας

Τὴν πανοπλίαν
τῆς Χριστοῦ εὐσεβείας
105 ἐνθέως
περικείμενος, ἱεράρχα,
τῆς ἀσεβείας φάλαγγας
κραταιῶς ἐπολέμησας.

---

heirm. ϛ΄ ΕΕ 103, n. 145, Joannis vv. 85-89 om. Cn, qui homoeoteleuti causa (Εὐσέβιε vv. 84, 89) in unum duo troparia coniungit 101 πρὸς οἰκιώθη Cn
heirm. ζ΄ ΕΕ 104, n. 146, Germani 104 εὐσεβείας] ἐκκλησίας Cn 107 ἀσεβείας] εὐσεβείας Σγ

110 Σὺ τὸ φλογῶδες
ἡδονῶν κατασβέσας
τοῖς ὄμβροις
τῶν δακρύων σου, ἱεράρχα,
ἐν ἀπαθείᾳ ἔψαλλες·
« σύ, Χριστέ, τῶν πατέρων θεός ».

115 Ὡς ἀληθείας
ἐραστὴς ἐβδελύξω
τὸ ψεῦδος,
ἱεράρχα, καὶ διήλεγξας
παρανομούντων σύστημα,
120 ἀνυμνῶν τὸν τῶν ὅλων θεόν.

θεοτ. Ἰδεῖν τὴν δόξαν
τοῦ ἐκ σοῦ γεννηθέντος
καὶ ταύτης
ἐντρυφῆσαι αὐτὸν δυσώπει
125 τοὺς ἀνυμνοῦντας, ἄχραντε,
σὲ κυρίως μητέρα θεοῦ.

ᾠδὴ η'. *Τὸν βασιλέα Χριστὸν ὃν ὡμολόγησαν*

Τὸν εὐεργέτην Χριστὸν
ἔχων ἐν γλώσσῃ σου,
παρρησίᾳ, θεόφρον,
130 ἐδίδασκες, ἐκήρυττες
αὐτὸν ὁμοφυῆ
καὶ ὁμοδύναμον πατρὶ
καὶ τῷ θείῳ πνεύματι
εἰς πάντας τοὺς αἰῶνας.

135 Σὺ δυναστῶν ἀπειλάς,
πάτερ, οὐκ ἔπτηξας·

113-114 pro his verbis in Cn tantum εὐλογητὸς legitur 115-120 troparium om. Cn
heirm. η' ΕΕ 104, n. 146, Germani 134 τοὺς αἰῶνας om. cdd.

συνεργὸν γὰρ ἐν πᾶσι
τῶν πάντων προεώρας
βασιλέα καὶ θεόν,
140 ᾧ ἀσιγήτως ἐβόας·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

Τῷ προσηνεῖ σου, σοφέ,
λόγῳ καὶ σχήματι
145 τὴν ἀνήμερον γνώμην
ἐνίκησας, Εὐσέβιε,
[λόγῳ] καὶ ἤλεγξας σοφῶς
τῶν εἰς Χριστὸν δυσσεβούντων,
ὃν ὑπερυψοῦμεν
150 εἰς πάντας τοὺς αἰῶνας.

f. 108ᵛ θεοτ. ‖ Ὁ τὴν ἡμῶν προσλαβὼν
φύσιν, πανάχραντε,
ἐξ ἁγνῶν σου αἱμάτων,
ἐκαίνισεν, ἐθέωσεν
155 ἐν χάριτι ἡμᾶς,
τοὺς θεοτόκον κυρίως
σὲ ὁμολογοῦντας
ἀσιγήτως εἰς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀπειρόγαμον θεοτόκον, τὴν οὐράνιον παστάδα*

Σώματος ὁρμάς ⟨σου καθ⟩υποτάξας
160 νοΐ, θεόφρον ἱεράρχα,
ἐν ἀπαθείᾳ ἐβίωσας, Εὐσέβιε,
δοξάζων τὸν τῶν ὅλων θεόν.

140 ᾧ] ὃν Cn 142 v. om. Cn αἰῶνας om. Σγ 143-150 troparium om. Cn 147 λόγῳ metri causa expunxi 150 v. om. Σγ 154 ἐκένισεν Σγ ἐκαίνωσεν Cn 155 ἐν om. Σγ 156 τοῖς Σγ 158 εἰς τοὺς αἰῶνας Cn
heirm. θ' ΕΕ 97, n. 137, Joannis 159-162 troparium om. Cn
159 ⟨σου καθ⟩υποτάξας metri causa scripsi: ὑποτάξας Σγ

Ἔτεμες, Εὐσέβιε ἱεράρχα,
γλώσσας ⟨τὰς⟩ τῶν δυσφημούντων
165 εἰς τὸν υἱὸν τοῦ θεοῦ ξίφει τῶν λόγων σου
καὶ ἦρας νικητήρια.

Ἔσπεισας, Εὐσέβιε, ἐγκρατείᾳ
σαυτὸν τῷ κτίστῃ τῶν ἁπάντων
καὶ διὰ τοῦτο χαρίτων εὐωδίᾳ σε
170 ἐνθέως κατεκόσμησεν.

Ἔχων παρρησίαν πρὸς τὸν δεσπότην,
σὺν θεοφόροις ἱεράρχαις
τοῦτον δυσώπει σωθῆναι τοὺς τελοῦντάς σου
τὴν μνήμην καὶ τιμῶντάς σε.

θεοτ. 175 Ὕψωσον τὴν δόξαν, θεοκυῆτορ,
σαῖς εὐπροσδέκτοις ἱκεσίαις
τῶν ἀνυμνούντων τὴν ἄχραντόν σου κύησιν
καὶ πόθῳ δοξαζόντων σε.

---

164 τὰς metri causa add. 167-170 troparium om. Cn 175 θεοκυῆτορ] σου θεοτόκε Cn

IN SANCTUM BASILIUM PATELLARIAE HEGUMENUM

Crypt. Δ.α. LXIII = Dg, ff. 68-73
Vat. gr. 2069 = Vb, ff. 213-218

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Βασίλειον εὐλάλοις ἔπεσι κροτῶν ᾄδω, πρόσηλυς πένης.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Βασιλευόντων βασιλέα κύριον,
πάτερ Βασίλειε,
ἐπεγνωκὼς μόνον,
τὰ δὲ κόσμου ἅπαντα
5 φθαρτὰ λιπὼν καὶ ἄστατα,
τὸν σταυρόν σου ἐπ' ὤμων
ἐπάρας, τούτῳ προσέδραμες,
ὅπως κερδανεῖς τὰ ἐμμένοντα.

Ἀνεπιστρόφῳ τῷ ποδὶ ἐμάκρυνας,
10 πάτερ Βασίλειε,
ἐν ταῖς ἐρήμοις φεύγων
καὶ ἐναυλιζόμενος,
θεὸν ὡς προσδεχόμενος
τόν σε σῴζοντα· ὅθεν
15 καὶ σέσωκέ σε, προσάγοντα
πλοῦτον δαψιλῆ ἐκ τῶν πόνων σου.

---

tit. Εἰς τὸ ἀπόδειπνον ὁ κανὼν τοῦ ὁσίου tantum Dg in rubrica: in inferiori margine add. Ph. Vitali φέρων ἀκροστιχίδα..... ὁ κανὼν τοῦ ὁσίου βασιλείου ψαλλόμενος τῇ ἑσπέρα: φέρων ἀκροστιχίδα..... Vb προσηλὺς Dg πρόσηλους Vb ex acrostichide vero litterae initiales trium θεοτ. (odarum δ', η', θ') abundant

heirm. α' EE 219, n. 314, Joannis 1 κύριον] χριστὸν Dg 5 λειπῶν cdd. ἄστασατα Vb 8 κερδανῆς cdd.

Σωτηριώδη τὴν φωνὴν τὴν ἄψευστον,
πάτερ Βασίλειε,
f. 68ᵛ || ἐνωτισθείς, χεῖρας
20 ἐπ' ἀρότρῳ ἔθηκας
ἀνεπιστρόφως, ὅσιε·
ὅθεν εὔθετος ὤφθης
ἐκ πόνων ἅμα καὶ πράξεων
εἰς τὴν ποθεινὴν βασιλείαν αὐτοῦ.

25 Ἱερουργήσας ἑαυτὸν τῷ κτίστῃ σου,
πάτερ Βασίλειε,
καὶ ὡς κωφὸς βύσας
στόμα καὶ ὡς ἄλαλος,
τῷ ποδηγοῦντι προὔθηκας
30 σεαυτόν, ὡς πιστεύσας
εὐχαῖς σωθῆναι ταῖς τούτου, σοφέ·
ὅθεν τοῦ σκοποῦ οὐκ ἀπέτυχες.

Λαμπαδηφόρον τὴν αὐγὴν θεώμενος,
πάτερ Βασίλειε,
35 τοῦ ποδηγοῦ ὤφθης
ἀληθὲς ἐκτύπωμα
καὶ ἀρετῆς εἰκόνισμα·
ἀλλ' ἱκέτευε, μάκαρ,
ὑπὲρ τῶν πίστει αἰτούντων σε
40 σοῦ ἐπιτυχεῖν τῆς μεθέξεως.

θεοτ. Ἐν ταῖς χερσί σου, παρθένε, βαστάσασα,
τὸν τοῦ παντὸς ποιητήν,
ὑπερφυῶς, μήτηρ,
ὤφθης καὶ διέμεινας
45 ἁγνὴ καὶ μετὰ γέννησιν·
ὅθεν σε θεοτόκον
κυρίως πάντες δοξάζομεν,
τὴν καταφυγὴν καὶ προστάτιν ἡμῶν.

---

22 εὐθετὸν Vb 43 ὑπερφυῶς ὡς Vb 48 προστάτην cdd.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Ἰσοστασίως τῇ ψυχῇ
50 τὸν κόσμον προλελεγμένου
μὴ ὑπάρχειν παρὰ τοῦ θεοῦ λόγου,
ἐζημίωσαι αὐτόν,
ἵνα, Χριστὸν κερδήσας, δειχθῇς
τῶν ἐντολῶν τῶν τούτου
55 φύλαξ, παμμάκαρ Βασίλειε.

f. 69 || Οὐκ ἐξαρκέσω ἐξειπεῖν
τοὺς πόνους σου κατ' ἀξίαν,
οὓς θεῷ δι' ἐγκρατείας προσῆγες,
ἀγρυπνίαις καὶ εὐχαῖς
60 καὶ στάσεσι παννύχοις τελῶν·
ἀλλ' ἐπομβρίσοις λόγον,
μάκαρ, εὐχαῖς σου, Βασίλειε.

Νομοθεσίᾳ τοῦ σοφοῦ
ποιμένος σου Ἰωάννου
65 ἐπιβὰς ὀχήματι πολυδρόμῳ,
ἐπτερώθης ἀναβὰς
εἰς ὕψος ταπεινώσεως
καὶ νικητὴς δαιμόνων
ὤφθης, παμμάκαρ Βασίλειε.

70 Ἐν βαθυτάτοις τῆς ψυχῆς
ταῖς αὔλαξί σου τὸν σπόρον
εἰσεδέξω τοῦ σωτηρίου λόγου
καὶ προσήγαγες Χριστῷ
καρπὸν ἑκατοστεύοντα,
75 τοῦτον ἀπαύστοις ὕμνοις,
πάτερ, γεραίρων, Βασίλειε.

---

heirm. γ' EE 219, n. 314, Joannis 56 εὐαρκέσω Vb 58 προσήγαγες Vb 64 σου om. Vb 65 πολοδρόμῳ cdd.

70-74 Matth. 13,8.23; Marc. 4,8.14.20; Luc. 8,8.11.15

Ὑποπιάζων καρτερῶς
τὸ σῶμα τῇ ἐγκρατείᾳ
καὶ ἰσχύι τοῦ σταυροῦ τοῦ κυρίου,
80 ἀντετάξω ⟨. . .⟩
τῷ νόμῳ ἀντιστράτηγον,
αἰχμαλωτεύσας τοῦτον
ὑπὲρ ἐκείνου, Βασίλειε.

θεοτ. Λόγοις τὸν τόκον σου ὑμνεῖν
85 οἱ νόες ἐξαποροῦσιν,
ὦ μητράνασσα ἁγνὴ θεομῆτορ·
ἀλλ' αὐτὴ ὑπὲρ ἡμῶν
ἀπαύστως ἱκετεύοις Χριστὸν
ἐκ τῶν παθῶν ῥυσθῆναι·
90 σὺ γὰρ ἡμῶν ἡ βοήθεια.

ᾠδὴ δ'. *Σύ μου, Χριστέ,*
κύριος, σύ μου καὶ δύναμις

f. 69v ‖ Ἀποσκοπῶν,
μάκαρ, τὰ ἄνω καὶ κρείττονα,
τῆς γαστρός σου
λίαν κατεκράτησας,
95 ταῖς πατρικαῖς χαίρων διδαχαῖς·
ὅθεν τῇ ἐκβάσει
ἐφάνης τούτῳ πανδόκιμος·
διὸ καὶ διπλαρίθμως
ἀναπέπαυται πνεῦμα
100 τὸ θεοῦ ἐπὶ σέ, παμμακάριστε.

Λόγου θεοῦ
ἀκουτισθεὶς μακαρίζοντος
τοὺς πεινῶντας
τὴν δικαιοσύνην ἀεί,

78 τῇ] ἡ Vb 80 tres syllabae desiderantur 83 ὑπερ ἐκεῖνος Vb ex εἴπερ ἐκεῖνος recte correxit Dg 88 ἱκετεύεις Dg heirm. δ' EE 219, n. 314, Joannis

101-104 Cfr. Matth. 5,6; Luc. 6,21

105 χαίρων τροφαῖς ταῖς τοῖς ἀδελφοῖς
ἐκπεριττευούσαις
ἀρκούμενος, εὐχαρίστεις θεῷ,
αἰτούμενος πιπλᾶσθαι
τῆς ἐκεῖ ἀϊδίου
110 καὶ ἀφθάρτου τρυφῆς, ὦ Βασίλειε.

Ὅλον σαυτὸν
ἔσπευσας πρᾶον καὶ ἥσυχον
ἀναδεῖξαι,
ὅσιε Βασίλειε,
115 τῷ πλαστουργῷ καὶ παμβασιλεῖ,
ὅπως ἐπιβλέψῃ
ἐν οἴκτῳ ἐπί σε κύριος·
διὸ καὶ φερωνύμως
τὸ ποθούμενον εὗρες,
120 ἐν ἀφθάρτῳ τῷ χώρῳ σκηνούμενος.

Ἴσως σαυτῷ,
ὅσιε, θέλων ἀνάγεσθαι
τοὺς πλησίον,
λόγῳ καθικέτευες,
125 πρὸς τὴν ζωήν, πάτερ, ὁδηγῶν·
ὅθεν ὁ ἀλάστωρ
ἐχθρός, τῷ φθόνῳ βαλλόμενος,
λαλῆσαι δι' ὀργάνου
ἐκτολμᾷ, ἀλλ' ἡττᾶται
130 συντριβεὶς ὁ παράφρων καὶ δόλιος.

Σωφρονισμοῦ
f. 70 χάριν ‖ ὁ φλήναφος ἄνθρωπος
τῇ προνοίᾳ
κρείττονι παιδεύεται
135 τοῦ μὴ λαλεῖν κατὰ τῶν Χριστοῦ
δούλων φλυαρίας,

107 εὐχαρίστης Dg εὐχαρίσθης Vb 113 ἀναδέδειξαι Dg 120 χωρῷ Vb 123 τοὺς] τοῦ Vb 134 κρείττονι] τῇ κρείττω cdd.

112 Cfr. I Petr. ep. 3,4; Matth. 5,5

ἀλλ᾽ αὖθίς σου διασώζεται
εὐχαῖς, ὦ θεοφόρε,
παιδευθεὶς ἀδιστάκτως
140 ἀρετῆς τῆς ἐνθέου τὰ ἔπαθλα.

Ἐν πρακτικοῖς
ὁ ποδηγέτης θεώμενος
εὐπραγοῦντα
τρόποις τε καὶ ἤθεσι
145 σέ, ἐκτενῶς τὸν δημιουργὸν
πάντων ἱκετεύει
εὐχαῖς γενέσθαι οἰκήτορα
τῆς θείας σκηπτουχίας·
ὅθεν καὶ εἰσηκούσθη
150 παρ᾽ οὗ καὶ ἐπεπόθει, Βασίλειε.

θεοτ. Ἕνα ἡμῖν,
ὦ θεοτόκε, ἐκύησας
τῆς τριάδος,
ἄτρεπτον, ἀσύγχυτον,
155 τῇ τοῦ πατρός, ἄχραντε, βουλῇ
καὶ τῇ συνεργείᾳ
τοῦ πνεύματος διαμείνασα
παρθένος μετὰ τόκον·
ὅθεν σε καταχρέως
160 γενεαὶ γενεῶν μακαρίζομεν.

ᾠδὴ ε´. *Ἵνα τί με ἀπώσω*

Πρὸς ἀνάβασιν σπεύδων
ἀξιομνημόνευτον τῆς ταπεινώσεως,
ἐφυλάξω ὅπως

---

142 ὁ ποδηγέτης] ἀποδηγέτης Dg, ἐποδηγέτης Vb 143 εὐπραγοῦνται Vb
148 κηπτουχίας cdd.
heirm. ε´ EE 219, n. 314, Joannis 163 ἐφύλαξα Vb

163-165 Cfr. Matth. 5,22

τὸν πλησίον σου ἐν ἑνὶ ῥήματι
165 μήπως σκανδαλίσαι·
ὅθεν πρὸς φῶς τῆς ἀϊδίου
μετετέθης ζωῆς ἀγαλλόμενος.

Ἐν ἐλπίδι καὶ πίστει
τοῦ καθηγεμόνος σου καὶ ἀοιδίμου πατρὸς
170 Ἰωάννου τρόπους
f. 70v ἀνεμάξω ζη‖λώσας ἀσκήσεσιν·
ὅθεν ἐγεγήθει,
βλέπων ἐν σοὶ πνεύματος αἴγλην
ἀπαστράπτουσαν, πάτερ Βασίλειε.

175 Σωτηρίαν πηγάζεις
πίστει ἀδιστάκτῳ, σοφέ, τῷ ὁμαίμονι
καὶ ῥοῆς αἱμάτων
σεσηπότων λυτροῦσαι, τειχίσας αὐτὸν
τοῦ σταυροῦ τῷ ὅπλῳ
180 καὶ ζωτικῶν καὶ ἀκηράτων
μυστηρίων μεθέξει, Βασίλειε.

Ἰατρεύεις ἀφῇ σου
σοῦ τὸν ἀδελφόπαιδα, πάτερ, Βασίλειον,
τῶν τεκόντων πίστει
185 ἀκλινεῖ πρεσβευσάντων, Βασίλειε,
πατρικαῖς πρεσβείαις
θωρακισθεὶς καὶ τῷ σημείῳ
τοῦ σταυροῦ τοῦ θεοῦ τῶν δυνάμεων.

Κατετάκη σου, μάκαρ,
190 σφόδρα τὸ σαρκίον τοῖς κόποις κλονούμενον
καὶ ταῖς ἀγρυπνίαις,
ὡς ἐδείκνυ ἡ ἄμορφος ὅρασις·
σὺ δὲ ἐπ᾽ ἐλπίδι
ἀποσκοπῶν τοῖς ἀκηράτοις,
195 ἐκαρτέρεις σταυρῷ δυναμούμενος.

---

178 λυτροῦσαι pro λυτροῖ: cfr. PSALTES, 209 180 ἀνακηράτων Vb
190 σφόδρα τὸ] σφοδρατὸς Vb 193 ἀπελπίδι Vb

θεοτ. Ῥῦσαι τῶν παθημάτων,
κόρη θεομῆτορ, καὶ σῶσον τοὺς λάτρας σου
καὶ τυράννων θράση
καὶ βουλὰς τὰς ἀθέους κατάβαλε,
200 ὅτι σε προστάτιν
χριστιανοὶ πρὸς τὸν υἱόν σου
καὶ ἀκράδαντον τεῖχος κεκτήμεθα.

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτιῶν*

f. 71 || Ὅλον σου τὸ νοερὸν
πρὸς τὸ ὄντως ἐραστὸν ἀνατείνας,
205 ἐγρηγορῶν ⟨συ⟩στέλλεις
παννυχίως, Βασίλειε,
τὸ σαρκίον κατατήκων
τοῖς πόνοις σου, ⟨ὅσιε⟩,
καὶ τὸν ὕμνον
210 καταλιμπάνων ὁμοτρόποις σου.

Τίμιος ἀναδειχθεὶς
Ἰωάννου τοῦ κλεινοῦ σου ποιμένος
σὺ μιμητής, παμμάκαρ,
τοῖς δυσὶν δι' ἐλαίου
215 τὴν ὑγίειαν διδούς,
καὶ τὸν μὲν αἵματος ῥύσεως,
θάτερον δὲ
τοῦ πυρετοῦ ἀπελυτρώσω, σοφέ.

Ὦ πίστις ⟨ἡ⟩ ἀκλινὴς
220 καὶ πτωχεία ἡ ἐν σοὶ γνωρισθεῖσα
καὶ πρὸς θεὸν τὸν κτίστην
σὲ ὑψώσασα, ὅσιε,
χαρισμάτων τε ῥοαῖς

200 προστάτην cdd.
heirm. ς' EE 222, n. 318, Joannis 205 συστέλλεις metri causa complevi: στέλλεις cdd. 208 τοὺς πόνους σου Vb ὅσιε add., quia duas vel tres syllabas versus repetit 215 scripsi metri causa: διδοὺς τὴν ὑγείειαν Dg, ὑγίαν Vb 216 μὲν] μόνον Vb 217 θάτερον] θάπρον Dg 219 ἡ add.: syllabam versus repetit et cfr. v. 220

σὲ καταρδεύσασα
225 καὶ πανσόφων
θεωρημάτων, ὦ Βασίλειε.

θεοτ. Νύμφην σε ὡς ἀληθῶς
καὶ μητέρα τοῦ θεοῦ τῶν ἁπάντων
δουλοπρεπῶς ὑμνοῦντες
230 οἱ πιστοὶ μακαρίζομεν·
διὰ σοῦ γὰρ τῆς ἀρᾶς
πάντες ἐρρύσθημεν
τῇ ἑνώσει
τῇ τοῦ υἱοῦ σου καὶ θεοῦ ἡμῶν.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἀσκήσει ἐμάρανας
τὰς τῆς σαρκὸς ἡδονὰς
καὶ σάρκα ἐλέπτυνας
δι' ἐγκρατείας πολλῆς,
5 Βασίλειε ὅσιε,
πᾶσαν τοῦ διαβόλου
τὴν ἰσχὺν καταλύσας·
ὅθεν καὶ μετὰ τέλος,
εἰληφὼς τοὺς στεφάνους,
10 πηγάζεις τοῖς ὑμνοῦσί σε,
πάτερ, θαυμάτων κρουνούς.

f. 71v || ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

235 Ἀπεσκόπεις, θεόφρον,
παραστῆναι ἀμέμπτως
τῷ ποιητῇ καὶ θεῷ,

233 τῇ] ἡ Vb
heirm. καθ. HR 63
heirm. ζ' EE 224, n. 321, Joannis 235 Ἀπεσκόπει Vb

καὶ λόγῳ τε καὶ βίῳ
τὴν ποίμνην ἐποδήγεις
240 πρὸς μονὰς οὐρανίους, βοῶν·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Διαπλέων, θεόφρον,
ὑπὸ τοῦ σοῦ ποιμένος
245 ἐν ἑσπερίοις σταλείς,
πνευμάτων ἀπειλούντων
ἀπόγνωσιν πλωτῆρσιν,
τρικυμίαν κατεύνασας,
« ὁ τῶν πατέρων », βοῶν,
250 « θεός, εὐλογητὸς εἶ ».

Ὥς ποτε ἡ αἱμόρρους
Ἰησοῦ ἐκ κρασπέδων
ῥῶσιν προσήκατο,
ὡσαύτως ἡ πιστῶς σοι,
255 παμμάκαρ, προσελθοῦσα,
ἰαθεῖσα ἐκραύγαζεν·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Παρρησίᾳ, παμμάκαρ,
260 τὸν Χριστὸν θεὸν εἶναι
πάντων ἐκήρυξας
ἐνώπιον ἀθέων
καὶ μάρτυς τῇ προθέσει
ἀληθὴς ἀναδέδειξαι,
265 « ὁ τῶν πατέρων », βοῶν,
« θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ῥητορεύουσαι γλῶσσαι
ἀποροῦσι τὸν τρόπον

241-242 post πατέρων cetera om. Dg 242 εἰς τοὺς αἰῶνας add. Vb
245 ἐν ἑσπερινοῖς Dg 258 εἰς τοὺς αἰῶνας add. Vb 259 Παῤῥησίαν Vb
260 Χριστὸν om. Vb 265 βοῶν] ἡμῶν Vb 266 εὐλογητὸς εἶ om. cdd.

238-240 cfr. Joh. 10,1 ss. 251-253 Matth. 9,20; Marc. 5,25; Luc. 8,43

τῆς σῆς κυήσεως
270 ἐκφράσαι, θεοτόκε,
διό, ὦ βασιλίδα,
προσκυνοῦντες βοῶμέν σοι·
« χαῖρε, ἡ μόνη ἐλπὶς
τῶν σε ἀνευφημούντων ».

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

275 Οὐρανοδρόμος, ὅσιε,
ἀθλοφόρων χορεία Χριστῷ
ἐκ τῶν σῶν θρεμμάτων τετραρίθμως θύεται,
f. 72 ‖ τυράννους αἰσχύνασα
καὶ τὰς δαιμόνων ὕδρας ὁμοῦ
280 καὶ σὺν ἀσωμάτοις γεγηθῶσα, κραυγάζει·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

285 Σὺν ἀθληταῖς χορεύοντες
καὶ ὁσίοις, ἀοίδιμοι,
καὶ τῆς ἀκηράτου τηλαυγῶς μετέχοντες
ζωῆς, παμμακάριστοι,
τὸν τῶν ἁπάντων κτίστην θεὸν
290 καὶ δημιουργὸν καὶ λυτρωτὴν δυσωπεῖτε
ὑπὲρ τῶν ἀνυμνούντων
τὴν σεπτὴν ὑμῶν μνήμην
ῥυσθῆναι ἐκ παντοίων
κινδύνων τε καὶ βλάβης.

295 Ἣν εὐσεβῶς ἐλάτρευσας
ἐν ἀγῶσιν, Βασίλειε,
πόνοις καὶ νηστείαις καὶ εὐχαῖς καὶ δάκρυσι
τριάδα τὴν ἄναρχον,
περιαυγάζει νῦν σε τρανῶς
300 μέλπειν ἔνθα ἦχος ⟨τῶν σε⟩ ἑορταζόντων·

heirm. η΄ EE 219, n. 314, Joannis 283-284 post λαὸς cetera om. Dg
286 ἀοίδιμε Vb 300 τῶν σε add.: duae syllabae in v. desunt

« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

305 Λαμπροφανὴς γεγένηται
ἡ σεπτὴ πολιτεία σου
καὶ ἡ ἐκδημία πρὸς θεόν, Βασίλειε,
φαιδρὰ καὶ χαρμόσυνος,
ἣν εὐφημοῦντες ὕμνοις ᾠδῶν
310 τῷ δημιουργῷ καὶ λυτρωτῇ μελῳδοῦμεν·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

315 Ὑμνολογῶν, Βασίλειε,
σὺν ὁσίοις τὸν κύριον,
αἴτησαι ῥυσθῆναι πειρασμῶν καὶ θλίψεων
ὃν ἔθου προΐστασθαι
τῆς λογικῆς σου ποίμνης, σοφέ,
f. 72ᵛ 320 μετὰ ‖ τοῦ ποιμνίου καὶ τῶν σε δυσωπούντων
καὶ πόθῳ μελῳδούντων·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. 325 Υἱὸς ὁμοούσιος
τῷ πατρὶ καὶ τῷ πνεύματι
μόνος κατοικεῖ ἐν μήτρᾳ σου, πανάμωμε,
τὸν ἄνθρωπον ὅλον μὲν
ἀναλαβών, ὡς οἶδεν αὐτός,
330 σώσας τε τῆς πλάνης τῶν εἰδώλων, θεοῖ με·
διό σε, θεοτόκε,
ὡς ἐλπίδα τοῦ κόσμου
ἀεὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

---

304 v. om. Dg 309 ὁδῶν cdd. 311 post παῖδες cetera om. Dg vv. 312-314 om. Vb 324 v. om. Dg οἱ παῖδες εὐλογεῖτε Vb

ᾠδὴ θ'. *Ἔφριξε πᾶσα ἀκοὴ*

335 Σῶσόν μου,
πάτερ, προσευχαῖς
ταῖς πρὸς κύριον ἀπαύστοις τὸ ποίμνιον,
περικυκλούμενον
ἐθνῶν ἐφόδοις
340 καὶ περιστάσεσιν,
καὶ διανύσαι εὐμαρῶς
αὐτὸ καταξίωσον
τὸν δρόμον, ὅσιε,
τῆς ἀσκήσεως καὶ πίστει κρατύνεσθαι.

345 Πρόσαγε,
πάτερ, τὰς λιτάς,
δυσωπούμενος Χριστῷ τῷ θεῷ ἡμῶν
σὺν τῷ ποιμένι σου
ἀδιαλείπτως
350 ὑπὲρ τῆς ποίμνης σου
ῥυσθῆναι πάσης ἀπειλῆς
ἐχθρῶν καὶ κακώσεως·
σὲ γὰρ ἐν ᾄσμασιν
εὐφημεῖ καὶ μακαρίζει, Βασίλειε.

355 Ἔσπευσας,
ὅσιε, θερμῶς
διελθεῖν τὸ σκάμμα τὸ τῆς ἀσκήσεως
πόνοις καὶ δάκρυσι
καὶ χαμευνίαις
360 καὶ ἀγρυπνίαις ὁμοῦ,
καὶ νῦν τῶν πόνων τοὺς καρποὺς
τρυγᾷς ἀγαλλόμενος·
f. 73 ὅθεν ‖ ἀξίως σε
μακαρίζομεν ᾠδαῖς, ὦ Βασίλειε.

365 Νόμος ἦν
ἔγγραπτος ἐν σῇ
διανοίᾳ μνήμῃ, πάτερ Βασίλειε,

---

heirm. θ' EE 222, n. 317, Joannis 345 Προσάγαγε Dg 348 ποιμαίνει Vb ποιμαίνει etiam in Dg, postea emendatum in ποιμένι 359 χαυμευνίαις Vb 361 τοὺς πόνους τῶν καρπῶν cdd.

καὶ ἐν τοῖς χείλεσιν
ἡ τοῦ θανάτου
370 καὶ ἡ ἀπέραντος
τῶν αἰωνίων ἀγαθῶν
ἐκπράξεως μέθεξις,
ἧς καὶ τετύχηκας
ἐν Χριστῷ τῷ λυτρωτῇ ἀγαλλόμενος.

375 Ἤκουον
ἄρχοντες λαῶν
ἀκοὴν τὴν σήν, παμμάκαρ Βασίλειε,
καὶ φόβῳ ἔπτησσον
τὴν ἐνοικοῦσαν
380 ἐν σοὶ τοῦ πνεύματος
χάριν καὶ πίστει ἀρραγεῖ
ὑμνοῦντες, ἐδόξαζον
τὸν μεγαλύνοντα
τοὺς αὐτὸν ὡς λυτρωτὴν μεγαλύνοντας.

385 Σῶσόν με,
πάτερ, σαῖς εὐχαῖς,
δυσωπῶ ὁ ταπεινὸς καὶ ἀνάξιος,
δεινῶς κλονούμενον
ἐν ἁμαρτίαις
390 καὶ ἀτοπήμασιν,
καὶ τῷ ποιμνίῳ, δυσωπῶ,
ἀρίθμησον, ὅσιε,
τῷ σῷ τολμήσαντα
ἐφυμνίοις καὶ ᾠδαῖς μεγαλῦναί σε.

θεοτ. 395 Σῶσόν με,
μῆτερ τοῦ θεοῦ,
ἡ γεννήσασα τῷ κόσμῳ θεάνθρωπον
καὶ διαμείνασα
ὡς πρὸ τοῦ τόκου,
400 κόρη θεόνυμφε,
σώα παρθένος καὶ ἁγνή·
διὸ καταχρέως σε,
παρθένε δέσποινα,
ὡς μητέρα τοῦ θεοῦ μεγαλύνομεν.

---

370 ἀπεράντιος Vb 373 ἧς] ἡ Dg 383 μεγαλύναντα Dg 394 εὐφυμνίοις cdd.

24 IUN. *CANON* XVI (1)

IN NATIVITATEM SANCTI JOANNIS BAPTISTAE

Synaxarium 767: Τὸ γενέθλιον ἐπιτελοῦμεν τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Ὃς ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας μαρτυρεῖται ὑπὸ τοῦ Χριστοῦ καὶ προφήτου περισσότερος ὁ προσκιρτήσας ἀπὸ γαστρὸς καὶ τοῖς ἐν τῇ γῇ τὴν τοῦ σωτῆρος κηρύξας παρουσίαν, καὶ προδραμὼν ἐν τῷ Ἅδῃ πρὸς τὸ τὴν ἀνάστασιν εὐαγγελίσασθαι. Οὗτος γέγονεν υἱὸς Ζαχαρίου τοῦ ἀρχιερέως καὶ Ἐλισάβετ τῆς στείρας, τεχθεὶς ἐξ ἐπαγγελίας, ὃς καὶ τὴν τοῦ πατρὸς σιωπὴν ἐν τῷ γεννᾶσθαι ἐπιλυσάμενος πάντα τὸν κόσμον χαρᾶς ἐπλήρωσεν· διὸ καὶ ἄγγελοι τοῖς ἀνθρώποις σήμερον συναγάλλονται καὶ πᾶσα κτίσις χαρᾶς καὶ εὐφροσύνης πεπλήρωται .....

Crypt. Δ.α. XXXI = Ca, ff. 178-184
Vat. gr. 2308 = W, ff. 5-12
Barber. gr. 377 = Bl, ff. 147v-163
Vat. gr. 1547 = Vq, ff. 141v-148
Mess. gr. 136 = Mf, ff. 178v-183v

Canon secundum traditionem Crypt. Δ.α. XXXI = Ca

Ὁ κανών, ποίημα τοῦ μάκαρος Ἀνδρέου Κρήτης.

Ἦχος δ′.

ᾠδὴ α′. *Ἄισωμεν ᾠδὴν ἐπινίκιον*
τῷ μόνῳ θεῷ
τῷ ποιήσαντι θαυμάσια·
πάλαι γὰρ τὸν Φαραὼ
5 *πανστρατὶ ἐν θαλάσσῃ ἐβύθισεν.*

Σήμερον ἐκ στείρας γεγέννηται
βαπτιστὴς καὶ προφήτης
καὶ πρόδρομος καὶ μάρτυς Χριστοῦ,

---

heirm. α′ EE 105, n. 148, Andreae heirm. 3 θαυμάσια] παράδοξα EE

φωνὴν πατρὸς ἐλευθερῶν
5 καὶ μητρὸς ἀνυψῶν τὸ ἀξίωμα.

Ὑμνήσωμεν τὸν πρόδρομον ἅπαντες,
ὡς πᾶσι τὰς ὁδοὺς
ὑποδείξαντα τῆς χάριτος,
ὡς κήρυκα καὶ βαπτιστὴν
10 καὶ προφήτην καὶ λύχνον καὶ φίλον Χριστοῦ.

Ἐσκίρτησεν ἡ ἔρημος, πρόδρομε,
τὸν ἑαυτῆς μαθοῦσα
τικτόμενον κοσμήτορα,
καὶ ὥσπερ θεῖον οἰκιστήν,
f. 178ᵛ 15 || ἐφαπλοῦσα τὰ νῶτα, εἰσδέχεται.

« Ἐλύθην τῶν δεσμῶν τῆς στειρώσεως,
ἐκτησάμην υἱὸν
ἐν τῷ γήρει μου », ἡ στεῖρα βοᾷ·
διὸ συγχαίροντες αὐτῇ
20 μεγαλύνομεν ἅμα τὸν κύριον.

εἱρμὸς ἄλλος. *Τῷ ὁδηγήσαντι πάλαι*

Ἡ σιωπὴ τοῦ πρεσβύτου
τοῦ νομικοῦ γράμματος
εἰκόνα φέρει μυστικῶς,
καὶ γάρ, ἐλθούσης τῆς χάριτος,
25 ὁ Μωϋσῆς σεσιώπηται·
ἔδει γάρ,
τοῦ τῆς σοφίας θησαυροῦ
φανέντος, πάντα σιγᾶν.

Ἐν τῷ ναῷ θυμιῶντι
30 τῷ ἱερεῖ ἄγγελος

---

heirm. alter EE 106, n. 149, Andreae 23 μυστικὴν Vq 25 τὰ τοῦ μωσέως σεσήγηται Ca 28 πάντας Bl Vq

---

11 Cfr. Is. 35,1 24-25 Luc. 16,16; Matth. 11,12-13 29-36 Cfr. Luc. 1,8 ss.

ἐπέστη ἄνωθεν βοῶν·
« ξένης γονῆς εὐαγγέλια
ἦλθόν σοι φέρων, πρεσβύτατε·
ἕξεις γὰρ
35 ἐκ στείρας γόνιμον καρπόν,
τὸν βαπτιστὴν τοῦ Χριστοῦ ».

Τί ἐθαμβήθης, πρεσβῦτα,
τί ἀπιστῶν ἕστηκας
τῇ τοῦ λαλοῦντός σοι φωνῇ;
40 ἄγγελος γὰρ ὁ φθεγγόμενος
κἂν σχῆμα φέρει ἀνθρώπινον·
κώφευσον
οὖν πρὸς καιρὸν ἄχρι καιροῦ
τεχθήσεται ἡ φωνή.

45 Ὁ τὴν σιγὴν Ζαχαρίου
τῆς σιωπῆς θέμενος
τύπον τοῦ νόμου τοῦ γραπτοῦ
καὶ δι' αὐτῆς ὑποδείξας μοι
τῆς μετανοίας τὸν κήρυκα,
50 κράζοντα
« φωνὴ βοῶντος », βρεφουργεῖ
τῇ στείρᾳ ξένον καρπόν.

Ὢ παραδόξων πραγμάτων·
ὁ τοῦ Χριστοῦ πρόδρομος,
55 ὁ πρὸ σπαργάνων ἐπιγνοὺς
τὸν τὰς σειρὰς ἡμῶν λύοντα,
ὃν καὶ ἀμνὸν προεκήρυξεν,
σήμερον
ἐξ Ἐλισάβετ γεννηθείς,
60 λύει πατρὸς τὴν φωνήν.

---

34 τέξεις Ca 43-44 ἄχρι usque ad φωνή] ἄχρη τοῦ τόκου τῆς τοῦ λόγου φωνῆς W, ἄχρι τεχθῇ λόγου θεοῦ ἡ φωνὴ Bl 44 καὶ τῆς τοῦ λόγου φωνῆς Vq 46 τῇ σιωπῇ Ca 56 λύσαντα W 57 καὶ τὰς γονὰς ἁγιάσαντα W

37-44 Cfr. Luc. 1,18-20 49 Cfr. Matth. 3,2; Luc. 3,3; Marc. 1,4 50-51 Is. 40,3; Matth. 3,3; Marc. 1,3; Luc. 3,4; Joh. 1,23 55-56 Cfr. Luc. 1,41 57 Joh. 1,29.36 60 Cfr. Luc. 1,64

Ὁ τῷ Δαυῒδ συμμαχήσας
ἀπὸ Σαοὺλ φεύγοντι
καὶ ἀποκτείνας δι᾽ αὐτοῦ
πρὶν Γολιὰθ τὸν ἀλάστορα,
65 αὐτὸς καὶ νῦν συστρατήγησον,
τρόπαια
κατὰ βαρβάρων χορηγῶν,
τῷ βασιλεῖ ἡμῶν.

τριαδ. Τὴν ἐν μονάδι τριάδα
70 χερουβικῶς ἅπαντες
ὑμνολογοῦντες οἱ πιστοί,
ὡς ἐν τρισὶν ὑποστάσεσι
καὶ ἐν μιᾷ τῇ θεότητι,
ἄναρχον
75 καὶ συναΐδιον αὐτὴν
θεολογήσωμεν.

θεοτ. Σὲ τοῦ θεοῦ τὸ χωρίον,
τὴν νοητὴν κλίμακα,
δι᾽ ἧς κατέβη ὁ θεὸς
80 καὶ μορφωθεὶς τὸ ἡμέτερον
εἰς οὐρανοὺς ἐπανήγαγεν,
ἅπαντες
ὡς σωτηρίας ἀπαρχὴν
ἀνευφημοῦμεν πιστῶς.

f. 179 ‖ ᾠδὴ β´. *Δῶμεν μεγαλωσύνην*

85 Εὐφραίνεσθε, καρδίαι,
καὶ σκιρτήσατε, διάνοιαι
αἱ πρώην στεῖραι·

62 ἀπὸ] τῶ μὲν W 63 καὶ ἀναιροῦντι διὰ σοῦ W 64 πρὶν] τὸν W 71 ὑμνολογοῦμεν Bl ὁμολογοῦντες Vq 72 ὡς] τὴν W 73 τῇ om. W 75 ἀΐδιον W 76 ὑμνολογήσωμεν Bl Vq 83-84 θεογεννῆτορ εὐσεβῶς / ὑμνολογοῦμεν σε W 84 πιστῶς] σε Bl
heirm. β´ EE 94, n. 133, Joannis

61-62 I Regn., 30 63-64 I Regn. 17,48-52 78-79 Gen. 28,12-13

ἰδοὺ γὰρ μήτηρ
ἡ Ἐλισάβετ ἐκ στείρας ὤφθη.

90 Μεσῖτα καὶ προφῆτα
καὶ τοῦ νόμου καὶ τῆς χάριτος,
ὢ ἐν ἐρήμῳ
φωνὴ βοῶντος,
ταῖς σαῖς πρεσβείαις μνημόνευε ἡμῶν.

95 Μείζονα τῶν ἐν κόσμῳ
προφητῶν σε ἀνηγόρευσεν,
ὃν ἐκ κοιλίας
μητρὸς ἐπέγνως,
ὁ τοῦ θεοῦ κηρυττόμενος υἱός.

100 Λόγου φωνὴ καὶ λύχνος
τοῦ φωτὸς τοῦ καταυγάσαντος,
τοὺς ἐν τῷ σκότει
ἀνηγορεύθης,
ὁ ἐκ προφήτου προφήτης, βαπτιστά.

105 Τύπος τῆς ἐκκλησίας
καὶ εἰκὼν προαναγέγραπται
ἡ Ἐλισάβετ
ἡ πρώην στεῖρα,
νυνὶ δὲ μήτηρ ὀφθεῖσα βαπτιστοῦ.

110 Μηδεὶς ἄπιστος ἔστω·
τοῦ θεοῦ γὰρ τῷ προστάγματι
πάντα δουλεύει
καὶ ὑπακούει,
διὸ καὶ στεῖρα γεννᾷ τὸν βαπτιστήν.

115 Ἡ θεόφθεγκτος σάλπιγξ
ἐν ἐρήμοις ἀνακέκραγεν·
« μετανοεῖτε·
ἡ βασιλεία
ἐπιδημεῖ σαρκωθέντος τοῦ θεοῦ ».

92-93 Is. 40,3; Matth. 3,3 et similes locos 95-96 Matth. 11,11; Luc. 7,28 97-98 Luc. 1,41 100-102 Cfr. Luc. 1,76-79 117-119 Matth. 3,2

θεοτ. 120 Τὴν ἄχραντον μητέρα
τοῦ θεοῦ ἀνευφημήσωμεν,
ὅτι, σωτῆρα
Χριστὸν τεκούσης,
ἀνεκαινίσθη τὸ γένος τῶν βροτῶν.

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

125 Τίς διηγήσεται
τὰς δυναστείας τοῦ θεοῦ,
τὸν βαπτιστὴν σήμερον ὁρῶν,
τὸν ἐκ προφήτου προφήτην
ἐκ στείρας γεννηθέντα,
130 τὸν παλαιᾶς καὶ τῆς νέας μεσίτην,
τὸν εὐθύνοντα τὰς τρίβους τοῦ θεοῦ;

Ὄντως παράδοξον
θαῦμα συνέδραμεν, πιστοί·
ὁ γὰρ ἐκ γῆς πλάσας τὸν Ἀδὰμ
135 πρὸς τὴν ἰδίαν εἰκόνα
χωρεῖ καὶ πρὸ σπαργάνων
τῷ βαπτιστῇ προσκυνεῖται, ἐν μήτρᾳ
ἐπιγνόντι τὸν αὐτοῦ δημιουργόν.

Τίς οὐκ ἐξίσταται,
140 τίς οὐ θαμβεῖται καθορῶν
τὸν πρὸ μικροῦ ἔνδον τοῦ ναοῦ
σοὶ τῷ θεῷ προσφωνοῦντα
καὶ μόνῳ προσλαλοῦντα,
δι' ἀπιστίαν ἀθρόως σιγῶντα
145 καὶ κωφεύοντα λοιπὸν ἄχρι καιροῦ.

---

heirm. alter EE 105, n. 148, Andreae 130 τῆς om. Ca 131 θεοῦ] χριστοῦ W 133 συνδράμωμεν Vq 136 χωρεῖ καὶ] χωρεῖται Vq 137-138 τὸν βαπτιστὴν προσκυνοῦντα ἐκ μήτρας / ἐπιγνῶντα (ἐπιγνοῦντα Vq) τὸν αὐτοῦ δημιουργὸν Ca Vq 138 αὐτὸν W 140 τίς οὐ τεθαμβήται ὁρῶν W 144 ἀθρόων W

---

131 Is. 40,3; Matth. 3,3 et similes locos 134-135 Gen. 1,27 136-138 Luc. 1,41 141-145 Luc. 1,8-20

Δόξα τῷ δείξαντι
ἐκ στείρας γόνιμον καρπόν,
καὶ τὴν φωνὴν δόντι τῷ πατρὶ
καὶ τὴν σιγὴν ἀφελόντι,
150 καὶ λάμψαντι τῷ κόσμῳ
f. 179v τὸν φωτισμὸν ‖ τῆς οἰκείας ἀκτῖνος
προδραμούσης ἐν τῷ λύχνῳ τῆς αὐγῆς.

Φῶς ὢν ἀπρόσιτον,
φῶς ἀπαστράπτεις τοῖς πιστοῖς
155 τὸ πατρικὸν γέννημα, Χριστέ,
Ἐμμανουὴλ εὐεργέτα,
ὁ λάμψας τῷ προδρόμῳ
τὴν ἐν σαρκὶ παρουσίαν σου, λόγε,
ἐν γαστρὶ βασταζομένῳ τῆς μητρός.

160 Ἔγνωμεν, ἔγνωμεν
ὅτι αὐτὸς εἶ ὁ θεός,
ὁ κατ' ἐχθρῶν τρόπαια διδοὺς
τῷ βασιλεῖ ἐν πολέμῳ
πρεσβείαις τοῦ προδρόμου,
165 καὶ τὸν τῆς Ἄγαρ αὐχένα τῷ ὅπλῳ
τοῦ σταυροῦ καθυποτάσσων ὡς πιστῶς.

τριαδ. Ἔγνωμεν, ἔγνωμεν
ὅτι αὐτὸς εἶ ὁ θεός,
ὁ ἐκ πατρὸς λάμψας ὡς υἱὸς
170 καὶ ἀπαθῶς καὶ ἀρεύστως
ἐκ πνεύματος ἁγίου
ἐν τῇ γαστρὶ τῆς παρθένου σκηνώσας
καὶ τεχθεὶς ἐκ τῆς ἁγνῆς δίχα σπορᾶς.

θεοτ. Χαῖρε, παράδεισε,
175 ἐν ᾗ τὸ ξύλον τῆς ζωῆς,

---

152 προδρομοῦσης W προσδραμούσης Vq 155 Χριστὲ] καὶ φῶς W 169 ὡς om. Ca Vq 173 ἐκ τῆς ἁγνῆς] μετὰ σαρκὸς W ἁγνῆς] μητρὸς Vq σπορᾶς] φθορᾶς W

157-159 Cfr. Luc. 1,41 174-175 Gen. 2,8-9

χαῖρε, πηγὴ βρύουσα τὸ φῶς,
χαῖρε, τὸ ἅγιον ὄρος
ὃ εἶδεν ὁ προφήτης,
ἐξ οὗ ὁ λίθος ἐτμήθη, ἡ πέτρα
180 ἡ προχέουσα πταισμάτων ἱλασμόν.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἡ Ἐλισάβετ πρὶν ἐστειρωμένη,
Χριστέ, τὴν ἐκκλησίαν σου
προδιετύπου τὴν ἐξ ἐθνῶν
καὶ τεκοῦσα παραδόξως,
185 πάλιν δηλοῖ πολύτεκνον
τὴν ἄτεκνον ὀφθεῖσαν ποτέ.

Ἡ μὲν σιγὴ τοῦ νόμου ἄχρι χρόνου
σιγῇ δηλοῦται σήμερον
τοῦ Ζαχαρίου ἐν τῷ ναῷ,
190 ἡ φωνὴ δὲ ἡ τοῦ λόγου
νυνὶ τεχθεῖσα δείκνυσι
Χριστοῦ τὴν παρουσίαν σαφῶς.

Τὰς μὲν ὁδοὺς εὐθύνας τοῦ κυρίου,
τὰς τρίβους προητοίμασας,
195 τῆς μετανοίας δὲ τοὺς καρποὺς
ὑποδείξας τοῖς ἀνθρώποις,
καὶ τῆς ζωῆς ἀνέδειξας
ὁδόν, προφῆτα κῆρυξ Χριστοῦ.

Ἡ Ἐλισάβετ σήμερον σκιρτῶσα,
200 βαστάζουσα τὸν πρόδρομον

---

heirm. γ' EE 104, n. 147, Andreae 183 προδιετύποι Mf 196 τοῖς ἀνθρώποις] ὦ προφῆτα Mf 197-198 κήρυξ θεοῦ καὶ πρόδρομος / ἐδείχθης ἰωάννη σοφὲ Mf 199 σκιρτάτω Mf

---

176 Cant. 4,12.15 177-179 Dan. 2,34.45 187-192 Cfr. Matth. 11,12 s; Luc. 16,15 193 s. Is. 40,3; Matth. 3,3 et similes locos 195 s. Matth. 3,8; Luc. 3,8

ἐν ταῖς ἀγκάλαις ταῖς γηραιαῖς,
ἐκβοᾷ ἐγκαυχωμένη
ὅτι οὐκ ἔστιν ἅγιος
ὡς σύ, ὁ θεὸς ἡμῶν.

εἱρμὸς ἄλλος. *Μὴ καυχάσθω ὁ καυχώμενος*
ἀλλ' ἢ ἐν τούτῳ·
ἐν τῷ συνεῖναι
ὅτι οὐκ ἔστιν ἅγιος
5 *ὡς ὁ θεὸς ἡμῶν,*
ὁ ὑψῶν τὸ κέρας ἡμῶν
καὶ διδοὺς ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν.

205 Ἐν ᾠδαῖς ἀνευφημήσωμεν
τὸν ἐκ προφήτου
προφήτην καὶ πρόδρομον,
τοῦ Ζαχαρίου κάλλιστον
θρέμμα καὶ βλάστημα,
f. 180 210 τοῦ || ἀμνοῦ τὸν κήρυκα,
τὸν εὐθύνοντα τὰς τοῦ κυρίου ὁδούς.

« Τὰ τοῦ γήρως ὑπερήκμασε
καὶ τὰ τῆς στείρας
νενέκρωται ὄργανα
215 καὶ πῶς », φησίν, « γεννήσομαι
υἱὸν ἐν γήρει μου; »,
ὁ πρεσβύτης, λέξας ποτὲ
πρὸς τὸν ἄγγελον, κατεδικάσθη σιγᾶν.

« Πεπαλαίωται τὸ σῶμά μου
220 ὑπὸ τοῦ γήρως,

---

201 ταῖς γηραλαίαις Mf 202 καὶ βοώτω καυχομένη Mf
heirm. alter EE 106, n. 149, Andreae heirm. 3 συνιέναι Ca Vq 207 πρόδρομον] μάρτυραν W 208 τῶ ζαχαρία W 211 εὐθύναντα W τοῦ om. Bl 212 γήρους Vq ὑπερήκμασαν Bl ὑπερήγμασε Vq 214 νενέκρωνται Vq 215 φῦσὶ γεννήσει μοι W 217 ὁ om. Vq 220 γήρους Vq

---

212-218 Cfr. Luc. 1,18-20

ἐκάμφθη τὰ μέλη μου,
καὶ ἡ νηδὺς ἐστείρωται
κἀγὼ νενέκρωμαι
καὶ πῶς μήτηρ ὤφθην ἐγώ; »,
225 ἐκβοάτω νῦν ἡ Ἐλισάβετ τρανῶς.

Δεῦτε πάντες θεασώμεθα
τὴν Ἐλισάβετ
ἐν γήρει ἐγκύμονα
καὶ τὴν παρθένον φέρουσαν
230 ἄσπορον σύλληψιν,
καὶ ὑμνήσωμεν οἱ πιστοὶ
τὰ παράδοξα τῶν μυστηρίων θεοῦ.

Τὴν ἀξίνην καθυπέταξας
ὑπὸ τὴν ῥίζαν
235 τῶν δένδρων, ὡς γέγραπται,
τὴν ἀκαρπίαν τέμνουσαν
τῶν καρδιῶν ἡμῶν·
ἀλλ' ἱκέτευε, βαπτιστά,
καρποφορεῖν ἡμᾶς ἐν ἐπιγνώσει θεοῦ.

240 Τοῖς ἁγίοις ἐμβατεύοντι
τῷ Ζαχαρίᾳ
ὑψόθεν ὁ ἄγγελος
τῆς ἀπαιδίας λέλυκε
τὰ ἐπιτίμια,
245 καὶ τὰ τῆς στειρώσεως
ἀπεκρούσατο δεσμὰ τῷ θείῳ χρησμῷ.

Τῷ κρατίστῳ βασιλεῖ ἡμῶν
ἐν τοῖς πολέμοις
συμμάχησον, κύριε,
250 καὶ τῶν ἐχθρῶν κατάβαλε

---

224 ἐγὼ ὠφθῶ Vq 225 τρανῶς om. Vq 228 γῆρα Bl 233 καθυπέδειξας W 242 ὑψώθην Bl 246 τῷ om. W

233-237 Matth. 3,10; Luc. 3,9

τὰ θράση, δέσποτα,
ταῖς πρεσβείαις τοῦ βαπτιστοῦ
συντηρῶν αὐτὸν τῷ σῷ βραχίονι.

τριαδ. Ἀδιαίρετον θεότητα,
255 ἄναρχον φύσιν,
ὁμότιμον σύνθρονον
τριάδα ὁμοούσιον
καὶ ὁμοδύναμον
προσκυνήσωμεν οἱ πιστοί,
260 σὺν πατρὶ υἱὸν καὶ πνεῦμα ἅγιον.

θεοτ. Ὦ γαστὴρ οὐρανὸν φέρουσα,
ὕψος καὶ πλάτος,
ἐν ᾗ ὁ θεὸς ἡμῶν
ἀδαμιαῖος γέγονεν,
265 ἀνακαινίζων ἡμᾶς
ἐπὶ τὴν ἀρχαίαν ζωὴν
καὶ τὸ φύραμα θεώσας τὸ ἐξ ἡμῶν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὸ προσταχθέν μοι μυστικῶς*

Τοῦ Ζαχαρίου τὴν φωνὴν
τρανῶς διέλυσε
σαφῶς τοῦ λόγου ἡ φωνή,
τεχθεὶς ὁ πρόδρομος,
5 καὶ τοῦ νόμου δεικνύει
πᾶσι τὴν στείρωσιν
κραυγάζων· « μετανοεῖτε
οἱ ἐπὶ γῆς·
ἰδοὺ γὰρ ἦλθεν ἐφάνη
10 ὁ Ἰησοῦς,
πάντας θέλων λυτρώσασθαι
ἐκ τῆς ἀρχαίας ἀρᾶς,
φωτίζων τῷ βαπτίσματι·
ὄντως θαῦμα παράδοξον ».

---

253 τηρῶν Bl 260 υἱῷ Ca 261 Ἡ γαστὴρ οὐρανοῦ φέρουσαν Bl οὐρανοῦ Vq 265 ἀναγαγὼν Bl 267 θεώσας] φορέσας Vq
heirm. καθ. PaR 637

ᾠδὴ δ′. *Ἐν μέσῳ δύο λῃστῶν*
ἐγνώσθης ἐπὶ σταυροῦ, Χριστὲ ὁ θεός,
f. 180ᵛ *καὶ ἐπήρθη ὁ ἥλιος ‖ τρόμῳ*
καὶ ἡ σελήνη ἔστη
5 *ἐν τῇ τάξει αὐτῆς·*
δόξα τῇ δυνάμει σου.

Ὁ Ζαχαρίας τὸ πρὶν
τὴν γλῶτταν ἐν τῷ ναῷ δεσμούμενος,
270 τὴν τοῦ νόμου σιγὴν προεδήλου,
ἡ δὲ φωνὴ τοῦ λόγου
τικτομένη δηλοῖ
νόμον τὸν τῆς χάριτος.

Ἐκ τῆς ἀκάρπου γαστρὸς
275 προῆλθεν ὁ Ἰωάννης σήμερον
τῆς Ἐλισάβετ ἐξ ἐπαγγελίας,
διὸ πανηγυρίζουσα
ἐν τῷ γήρει αὐτῆς
πάντας συγκαλεῖται φαιδρῶς.

280 Ὁ Ζαχαρίας βοᾷ,
γεννήσας τὸν βαπτιστήν, ἀθρόᾳ φωνῇ·
« Ἰωάννης καλείσθω τὸ βρέφος »,
καὶ ἐν πυξίῳ γράψας,
προανέθετο
285 τὴν προσηγορίαν αὐτοῦ.

εἱρμὸς ἄλλος. *Ἀκήκοεν ὁ προφήτης*
τὴν ἔλευσίν σου, κύριε,
καὶ ἐφοβήθη

Καὶ πρὶν εἰς φῶς προελθεῖν σε,
τοῦ κτίστου σου προέγνωκας

---

heirm. δ′ EE 104, n. 147, Andreae heirm. 2 ἐν τῷ σταυρῷ EE 3 φόβῳ EE
heirm. alter TR 66 287 σου om. W

270-273 Cfr. Matth. 11,12-13; Luc. 16,16 280-285 Cfr. Luc. 1,63
286-293 Cfr. Luc. 1,41

τὴν παρουσίαν·
ἐν γαστρὶ γὰρ βασταζόμενος,
290 Ἰωάννη,
ὕμνησας αὐτὸν ὡς θεόν,
ἐν σπλάγχνοις μητρὸς
παρθένου φερόμενον.

Ἐν τοῖς ἀδύτοις μολοῦντι
295 καὶ μέλλοντι τὰ ἅγια
τὰ τῶν ἁγίων
λειτουργεῖν τῷ θυμιάματι,
τῷ πρεσβύτῃ
ἄγγελος ἐπέστη βοῶν·
300 « ἐν γήρει υἱὸν
γεννήσεις τὸν πρόδρομον ».

« Κατὰ τί γνώσομαι τοῦτο; »
βοήσαντι τῷ γέροντι
σὺν ἀπιστίᾳ
305 ἐπεστόμισεν ὁ ἄγγελος·
« ἀπιστεῖς μοι,
ἔσῃ σιωπῶν πρὸς καιρόν·
ἐν γήρει γὰρ σὺ
γεννήσεις τὸν πρόδρομον.

310 » Τί ἀπιστεῖς, ὦ πρεσβῦτα,
τοῖς λόγοις μου; », ὁ ἄγγελος
τῷ Ζαχαρίᾳ
θυμιῶντι προσεφθέγγετο·
« τί θαυμάζεις;
315 πάντα δυνατὰ τῷ θεῷ·
ἐν γήρει υἱὸν
γεννήσεις τὸν πρόδρομον.

---

295 καὶ μαίνοντι Ca 295-296 καὶ μέλλον τὰ ἅγια τῶν ἁγίων W 296 τὰ om. Bl 301 γεννήσει W 305 ἐπεστόμιζεν W ἐπεφώνησεν Bl 307 ἔσο W καὶ ἔσῃ Bl 310 ὦ προφήτα W 313 προεφθέγγετο Vq

---

294-301 Cfr. Luc. 1,8-14 302 Luc. 1,18 307 Luc. 1,20

» Οὐκ ἤκουσας, ὦ πρεσβῦτα,
τὴν στείρωσιν τῆς σώφρονος
320 Σάρρας καὶ Ἄννης,
πῶς ἡ μὲν ἐν γήρει ἔτεκεν,
ἡ δὲ πάλιν
γέγονε πολύτεκνος;
ἐν γήρει καὶ σὺ
325 γεννήσεις τὸν πρόδρομον.

» Ἡ ῥάβδος πῶς ξηρανθεῖσα
καρπὸν καὶ φύλλα ἤνθησεν,
λέγε, πρεσβῦτα·
ὥσπερ ταῦτα τῷ προστάγματι
330 ἀνεφύη,
οὕτω καὶ ἡ στεῖρα », φησίν,
« ἐν γήρει υἱὸν
γεννήσει τὸν πρόδρομον.

» Μὴ ἀπιστήσῃς, πρεσβῦτα »,
335 ὁ ἄγγελος ἐφθέγγετο
τῷ ἱεράρχῃ,
« ὅτι ἔσται ἀγαλλίασις
καὶ χαρά σοι
τότε καὶ παντὶ τῷ λαῷ,
340 ἐν γήρει υἱὸν
γεννῶντι τὸν πρόδρομον ».

f. 181 || « Τίς ἔγνω, τίς εἶδε στεῖραν »,
βοάτω νῦν ἐν πνεύματι
ἡ Ἐλισάβετ,
345 « μετὰ γῆρας, μετὰ νέκρωσιν,
παρ' ἐλπίδα,
γάλακτι ἐκτρέφουσαν
ἐν γήρει υἱὸν
τεχθέντα τὸν πρόδρομον; ».

---

321 ἡ om. Bl γήρα W Bl 324 καὶ σὺ] υἱὸν Bl 325 πρόδρομος W 327 ἤνεγκε Bl 330 ἀνεφύει Bl 331 οὕτως W 333 γεννήσεις W 334 ἀπιστῆς ὦ W 340 γήρα Bl 341 γεννήσεις W

---

321 Gen. 17,15 ss.; 18,10 ss.; 21, 1-3 322-323 I Regn. 1,2-20 326-327 Num. 17,23 337-339 Luc. 1,14

τριαδ. 350 Πατήρ, υἱὸς καὶ τὸ πνεῦμα
τριάς ἐστιν ἀσύγχυτος·
ἡ ἐν μονάδι
τρισυπόστατος γὰρ ἕνωσις
κατ' οὐσίαν
355 πᾶσι προσκυνεῖται πιστοῖς,
ἀμέριστον φῶς,
συνάναρχον, σύνθρονον.

θεοτ. * Ὁ ἄσαρκος σωματοῦται
καὶ ἄρχεται ὁ ἄχρονος
360 ἐκ τῆς παρθένου
καὶ κενοῦται ὁ πληρέστατος
καὶ ὁρᾶται
πᾶσιν ὁ ἀόρατος
καὶ ὁ ἀναφὴς
365 κρατεῖται ὡς ἄνθρωπος.

ᾠδὴ ε'. *Ὄρθρον φαεινὸν ἡμῖν ἐξανάτειλον*
ὡς ἀγαθὸς
καὶ ὁδήγησον ἡμᾶς εἰς τὸν φόβον σου,
δέσποτα κύριε.

Μείζων οὐκ ἐγήγερται, προεκήρυξας
ὡς ἀγαθός,
γυναικῶν ἐν γεννητοῖς τοῦ προδρόμου σου,
δέσποτα κύριε.

370 Ἅπαντες ὑμνοῦμέν σε καὶ δοξάζομεν,
ὦ βαπτιστά,
ὅτι μήπω γεννηθεὶς προεκήρυξας
θεὸν προαιώνιον.

---

354 καὶ οὐσία Ca 356 ἀμέτρητον Ca 357 καὶ σύνθρονον W 358-365 θεοτ. Pent II νδ' 359 ἄχρονος] ἄναρχος Pent heirm. ε' EE 107, n. 150, Andreae

---

366-368 Matth. 11,11; Luc. 7,28 372 s. Luc. 1,41

Ξένον τὸ μυστήριον καὶ παράδοξον
375 ὡς ἀληθῶς·
ἡ φωνὴ γὰρ τὴν φωνὴν τῷ γεννήσαντι
τεχθεῖσα χαρίζεται.

Ἐν γαστρὶ ἐσκίρτησας προκηρύττων σου
τὸν πλαστουργὸν
380 καὶ μηδέπω προελθὼν πρὸς τὰ σπάργανα,
θεὸν ἀνεκήρυξας.

εἱρμὸς ἄλλος. *Ἀνάτειλόν μοι, κύριε,*

Ἀστέρα προητοίμασας,
δικαιοσύνης ἥλιε,
τὸν βαπτιστήν σου Ἰωάννην,
385 τὸν ἐξ ἐπαγγελίας
γεννηθέντα σήμερον
καὶ τὴν τοῦ γεννήσαντος
διορθώσαντα φωνήν.

« Μὴ φθέγξῃ, μὴ ἀντίλεγε,
390 πρεσβῦτα ἱερώτατε »,
ὁ Γαβριὴλ γὰρ προσλαλεῖ σοι,
ὁ πρῶτος ἐν ἀγγέλοις,
ὁ θεοῦ μυστήρια
καὶ τὴν πρὸς ἡμᾶς αὐτοῦ
395 συγκατάβασιν δηλῶν.

« Πρεσβῦτα, μὴ ἀμφίβαλλε·
θεὸς γὰρ ἐπαγγέλλεται

374-375 Ξένον καὶ παράδοξον τὸ μυστήριον / τοῦ βαπτιστοῦ W 376 ἡ] ὡς W 377 τεχθεὶς ἐχαρίσατο W 378 προκηρύττων] προσκυνήσας W heirm. alter EE 106, n. 149, Andreae 383 ἥλιος Bl 387 γεννήτορος W 388 διορθώσαντος Ca Bl διαρθρώσαντα W 389 ἀντιλέγει W ἀμφίβαλλε Vq 391 προσφωνεῖ σοι Ca 393 ὁ θεὸς Bl 396 ἀμφίβαλε W ἀντίλεγε Bl

---

376 s. Luc. 1,64 378-381 Luc. 1,41 382 Cfr. Ps. 131,17

ὅτι ἐν γήρει ἕξεις γόνον,
οὗ ἐπὶ τῇ γεννήσει
400 οἱ πολλοὶ χαρήσονται·
αὐτὸς γὰρ ἐλεύσεται
ἐν δυνάμει Ἠλιού.

» Τὸν Ἀβραὰμ πῶς ἤκουσας
τὸν Ἰσαὰκ γεννήσαντα,
405 ὁ Σαμουὴλ δὲ πῶς ἐτέχθη
ἀνέγνως, ὦ πρεσβῦτα·
νῦν οὖν μὴ ἀμφίβαλλε,
εἰ καὶ μετὰ νέκρωσιν
τῶν μελῶν ἕξεις υἱόν ».

410 Προφῆτα κῆρυξ πρόδρομε,
τὸ ἐκ τῆς στείρας βλάστημα,
f. 181ᵛ ὁ μηνυτὴς ‖ τῆς μετανοίας,
τῆς ἐρήμου τὸ θρέμμα,
τοῦ φωτὸς ὁ πρόδρομος,
415 ὑπὲρ πάντων πρέσβευε
τῶν τιμώντων σε πιστῶς.

τριαδ. Τριὰς ἁγία, δόξα σοι,
μονὰς ἡ τρισυπόστατος
καὶ ὁμοδύναμος οὐσία,
420 ἣν ἄγγελοι ὑμνοῦσιν,
χερουβὶμ δοξάζουσι
καὶ ἡ κτίσις ἅπασα
δοξολογεῖ ἕνα θεόν.

θεοτ. Ὡς πύλην ἀδιόδευτον
425 καὶ βάτον ἀκατάφλεκτον

---

398 γήρα W 400 οἱ om. Bl χαρίσονται W Bl 403 πῶς] ὡς Bl 407 ἀμφίβαλαι W 413 τὸ τῆς ἐρήμου θρέμμα W Bl 414 πρόδρομος] λύχνος τε Bl 416 τῶν σὲ τιμώντων εὐσεβῶς W 418 ἡ om. W 419 ἡ ὁμοούσιος θεότης W Bl καὶ] ἡ Vq 420 ἣν] καὶ W

399-400 Luc. 1,14 401-402 Luc. 1,17 403 s. Gen. 17,15 ss.; 18,10 ss.; 21,1-3 405 I Regn. 1,2-20 413 Luc. 1,80 414 Joh. 1,6-8 424 Ez. 44,1-2 425 Ex. 3,2

* Λύρα τοῦ πνεύματος
125 τῆς ἐκκλησίας πρὶν ὁ διώκτης δειχθείς,
σκεῦος ὁ Παῦλος εὔχρηστον
δι' Ἀνανίου τοῦ σοφοῦ,
ἀποκαλύψαντος αὐτῷ
ἐξ ὕψους τοῦ κυρίου, νυνὶ δέδεικται.

130 Λίαν ποθήσαντες
τὸν ἐν σαρκὶ αὐτοῖς ὁραθέντα θεόν,
τὴν πατρικὴν ἀγάπησιν
ἐπιλαθόμενοι, καλῶς
ἔδραμον χαίροντες αὐτοῦ
135 ὀπίσω Ἰωάννης καὶ Ἰάκωβος.

Λάμψαν ἀπρόσιτον
ἐπὶ τῆς γῆς ἰδὼν φῶς ὁ Φίλιππος,
τὴν τῶν ἰχθύων ἔλιπεν
ἄγραν καὶ ἔφθασεν αὐτὸ
140 δι' ἐπιγνώσεως θεοῦ,
τὰ ἔθνη ὁδηγῶν πρὸς τὴν εὐσέβειαν.

Λαίλαπα οἷά περ
ταῖς τῶν βροτῶν ψυχαῖς ἐμφωλεύοντα,
f. 197 Βαρθολομαῖος || ἤλασε
145 τὸν πολεμήτορα ἐχθρὸν
καὶ ἐνεφύτευσεν αὐτοῖς
τὴν χάριν τοῦ κυρίου διὰ πίστεως.

Λύμην ἀνίατον,
θεοῦ καλέσαντος ἐπακούσας εὐθύς,
150 ἔλιπε τὸ τελώνιον
Ματθαῖος εὐαγγελιστής,

124-129 PHG 87 129 νῦν Dg PHG

142-147 Cfr. commentarium p. 415.

---

125 Act. 9,1-2; 22,4ss.; 26,9-11; I Cor. 15,9; Gal. 1,13; I Tim 1,13
126 II Tim. 2,21 127-129 Act. 9,10-19 130-135 Matth. 4,21-22
136-141 Cfr. Joh. 1,43-44 148-151 Matth. 9,9-10; Marc. 2,13-14; Luc. 5,27-28

θεορρήμων γεγονὼς
ἐν πίστει τε καὶ πόθῳ τῆς ἀγάπης αὐτοῦ.

Λαῦρον ψηλάφημα
155 καταμαθὼν Θωμᾶς, παρευθὺ πιστωθείς,
τῆς ἀπιστίας λέλυται,
κηρύττων πᾶσι τηλαυγῶς
θεὸν εἶναι καὶ βροτὸν
τὸν ξύλῳ σταυρωθέντα ἐν σαρκὶ δι' ἡμᾶς.

160 Λώβην δυσκάθεκτον
τῆς ἀγνωσίας πρὶν διεξέφυγον
οἱ Ἰωσὴφ μνήστορος γόνοι,
Ἰάκωβος ὁ παγκλεὴς
θεάδελφος καὶ σοφὸς
165 Ἰούδας, προσδραμόντες τῇ ἀγήρῳ ζωῇ.

Λύσιν χειρώσεως
ψυχοβλαβοῦς πιστῶς Σίμων εὕρατο
ὁ Κανανίτης· ἔγνω γὰρ
τὸν παντοκράτορα θεὸν
170 καὶ συνεκράθη τῷ αὐτοῦ
συνδέσμῳ τῆς ἀγάπης καὶ τῆς χάριτος.

Λύτρον τῶν πράξεων
καταπεμφθῆναι νῦν ἱκετεύσατε
αἰσχρῶν, Χριστοῦ ἀπόστολοι,
175 τοῖς εὐφημοῦσι μυστικῶς
τὰ ὀνόματα ὑμῶν,
τὴν χάριν, τὴν σοφίαν καὶ τὰ θαύματα.

τριαδ. Λαμπροφεγγής ἐστιν
ἡ πανστενὴς τριὰς καὶ ὑπέρθεος,
180 συνεκτική, ἀπρόσιτος,
ζωαρχική, ζωοποιός·

---

168 Χανανίτης Dg

154-159 Cfr. Joh. 20,27-29 166-171 Cfr. Joh. 1,45-51

475 ἐν γήρει ἐγέννησαν
υἱὸν ἐξ ἐπαγγελίας.

Ἐκ σιγῶντος τεχθείσης
τῆς ὄντως φωνῆς,
ὁ πρέσβυς τῇ χειρὶ
480 δι' ἀφωνίαν πινακίδιον λαβών,
« Ἰωάννης καλείσθω
τὸ βρέφος », ὑπέγραφε
τοῖς αὐτῷ διανευομένοις.

f. 182 || Τὸ τεχθὲν αὐτῇ βρέφος
485 ἡ στεῖρα ποτὲ
λαβοῦσα ἐν χερσίν,
εὐφραινομένη προεσκίρτα μυστικῶς
καὶ πιστῶς ἀνεβόα·
« συγχάρητε ἅπαντες
490 τῷ ἐμῷ μετὰ γῆρας τόκῳ ».

θεοτ. Χαῖρε, ἄφλεκτε βάτε,
ἣν εἶδε Μωσῆς
ἐν ὄρει τῷ Σινᾷ,
ἡ δεξαμένη ἐν γαστρί σου, ἐν σαρκί,
495 τὸν ποιητὴν τοῦ κόσμου
καὶ τέξασα, ἄχραντε,
τὸν υἱὸν τοῦ θεοῦ καὶ λόγον.

Κοντάκιον.

Ἦχος γ'. *Ἡ παρθένος σήμερον*

Ἡ πρὶν στεῖρα σήμερον
Χριστοῦ τὸν πρόδρομον τίκτει
. . . .

475 γήρα W   486 ἐν χερσὶν] τῇ χειρὶ Vq   487 ἐνεσκίρτα W   μητρικῶς Ca   490 τόκῳ] τέκνω Vq   492 μωϋσῆς Bl   494 ἐν γαστρὶ] τῇ γαστρὶ Ca   ἐν σαρκὶ] ὡς βροτὸν Bl   495 τοῦ κόσμου] τῶν ἁπάντων Bl Vq   496 ἀσπόρως δὲ τέξασα Bl ἀσπόρως κυήσασα Vq
κοντάκ. et οἶκ. MR V, 355-356

477-483 Luc. 1,59-63   491-493 Ex. 3,2

Ὁ οἶκος.

Εὐφημήσωμεν νῦν
τὸν τοῦ κυρίου πρόδρομον
. . . .

ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ, Χριστέ,*
ὁ τοὺς ὁσίους σου παῖδας
ἐν Βαβυλῶνι δροσίσας ἐν μέσῳ
τῆς καμίνου τοῦ πυρός,
5 *καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.*

Μωσαϊκῶς ἐκπληρῶν
τὴν κατὰ νόμον λατρείαν,
500 ὁ Ζαχαρίας ἀγγέλου ἤκουε
βοῶντος πρὸς αὐτόν·
« ἰδοὺ εἰσηκούσθη ἡ δέησίς σου.

» Ἕξεις ἐν γήρει », φησίν,
« υἱὸν ἐξ ἐπαγγελίας
505 καὶ πρὸ προσώπου Χριστοῦ πορεύσεται
καὶ ἔσται ὁδηγὸς
τῶν ἐν μετανοίᾳ βαπτιζομένων.

» Μέγας γὰρ ἔσται », φησίν,
« ὡς ἐκ προφήτου προφήτης
510 καὶ ὡς τοῦ λόγου φωνὴ καὶ πρόδρομος
καὶ λύχνος τοῦ φωτός,
ὁ ἐκ σοῦ, προφῆτα, γεννᾶσθαι μέλλων ».

« Ταῦτα πῶς ἔσται; », φησὶ
πρὸς τὸν λαλοῦντα ὁ πρέσβυς·

heirm. ζ' in heirmologiis editis non apparet: pro hoc substituunt W Vq *Εὐλογητὸς εἶ, ὁ θεός*, EE 105, n. 148, Andreae, qui similiter metro troparioorum aptatur   500 ἄγγελον W   502 ἰδοὺ] ἤδη Vq   503 Τέξεις Vq γήρα W   φησὶν] υἱὸν Ca   504 υἱὸν] φησὶν Ca   507 μετανοίᾳ] ἰορδάνῃ Ca   508 γὰρ] δὲ W Vq   509 ὡς] ὁ Vq

498-502 Cfr. Luc. 1,8-13   505 Mal. 3,1; Luc. 1,17   508 Luc. 1,15
513-517 Cfr. Luc. 1,18

515 « ἰδοὺ γὰρ πάντα νεκρὰ τὰ μέλη μου
καὶ στεῖρα ἡ γυνή·
κατὰ τί οὖν ταῦτα γνωσθήσεταί μοι; ».

« Ἔγνως », φησίν, « ἱερεῦ,
ὅπως ἡ ἄνυδρος πέτρα
520 ἐν τῇ ἐρήμῳ τὸ ὕδωρ ἔβλυσεν·
θεῷ γὰρ δυνατὰ
τὰ παρὰ ἀνθρώποις ἀπεγνωσμένα ».

f. 182v || Ἄκουε, στεῖρα ψυχή,
ὅπως ἡ ἄκαρπος στεῖρα
525 καὶ μετὰ γῆρας καὶ μετὰ νέκρωσιν
θηλάζει υἱόν,
καὶ μὴ ἀπογνώσῃ τῆς σωτηρίας.

Τὸν βασιλέα, Χριστέ,
νικητικὸν ἐν πολέμοις
530 ὡς Μωϋσέα, σωτήρ, ἀνάδειξον,
διδοὺς αὐτῷ ζωὴν
καὶ καθυποτάσσων αὐτῷ τὰ ἔθνη.

θεοτ. Χαῖρε, ναὲ θεϊκέ,
χαῖρε, κατάσκιον ὄρος,
535 χαῖρε, λυχνία χρυσῆ καὶ τράπεζα
καὶ θεία κιβωτέ,
χαῖρε, παναγία θεοχυῆτορ.

εἱρμὸς ἄλλος. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

Ὁ Ζαχαρίας σιγήσας
πρὸς χρόνον ἐμήνυσε
540 τὴν σιγὴν τὴν τοῦ γράμματος,
καὶ πάλιν φθεγξάμενος

---

536 θεῖε Ca 540 τὴν (2. l.) om. Bl
heirm. alter EE 101, n. 143, Cosmae

519-520 Num. 20,8-11 534 Hab. 3,3 535 Ex. 25,31; Ex. 25,23
536 Ex. 25,10

τῇ γεννήσει σου, πρόδρομε,
τὴν τῆς χάριτος δόξαν
ἐδείκνυ φθεγγομένην.

545 Τὴν ἐκκλησίαν μιμεῖται
ἡ στεῖρα καὶ ἄτεκνος
Ἐλισάβετ ἡ ἔνδοξος,
τὸ πρὶν μὲν ὑπάρχουσαν
βωμοῖς καὶ κνίσαις μέλαιναν,
550 νῦν δὲ ἐγκαυχωμένην
καὶ κάλλει καὶ γεννήσει.

Τῇ τοῦ προδρόμου γεννήσει
χαλκεύεται σήμερον
ἡ ἀξίνη τοῦ πνεύματος,
555 δι᾽ ἧς πάντα τέμνονται
τῶν παθῶν τὰ σκιρτήματα,
μυστικῶς δὲ ἀνθοῦσι
καρποὶ τῆς μετανοίας.

Τὸν πρὸ ἡλίου δραμόντα
560 Χριστοῦ τοῦ θεοῦ ἡμῶν,
Ἰωάννην τὸν ἔνδοξον,
ὡς ἀστέρα πρόδρομον
καὶ μετανοίας κήρυκα
ἀνυμνήσωμεν πάντες
565 ἐκ στείρας προελθόντα.

Ὡς παλαιᾶς τε καὶ νέας
μεσίτην σε, πρόδρομε,
καὶ τὰς τρίβους εὐθύνοντα
Χριστοῦ τοῦ καθαίροντος

543-544 τὴν τοῦ πνεύματος χάριν / μηνύει φθεγγομένην W Bl 546 καὶ] ἡ W 547 ἔνδοξος] πάνσεμνος W πάνσεπτος Bl 548 ὑπάρχουσα Ca 549 κνίσσαις W μέλαινα Ca 550 ἐγκαυχωμένη Ca 555 τέμνεται W Bl 557-558 οἱ καρποὶ δὲ ἀνθοῦσι / σφοδρῶς τῆς μετανοίας W 560 χριστὸν τὸν θεὸν Bl 563 καὶ] ὁ Bl 566 τε καὶ] καὶ τῆς Bl 568 εὐθύναντα Bl

---

552-558 Cfr. Matth. 3, 8-10; Luc. 3,8-9 568 Is. 40,3; Matth. 3,3 et similes locos 569-571 Matth. 3,12; Luc. 3,17

570 τῶν πταισμάτων τὴν ἅλωνα
τῷ τοῦ πνεύματος πτύῳ
τιμῶμεν, Ἰωάννη.

τριαδ. Σὺν τῷ υἱῷ τὸν πατέρα
καὶ πνεῦμα τὸ ἅγιον
575 οἱ πιστοὶ προσκυνήσωμεν,
τριάδα συνάναρχον
καὶ μονάδα ὁμότιμον
τῇ οὐσίᾳ ἑνοῦντες,
προσώποις διαιροῦντες.

θεοτ. 580 Τὸν ἐν γαστρί σου, παρθένε,
ἀσπόρως σκηνώσαντα
καὶ τεχθέντα δι' ἄφατον
καὶ πᾶσαν ταπείνωσιν
καὶ δι' ἡμᾶς πτωχεύσαντα,
585 ὑπὲρ πάντων πρεσβεύειν
μὴ παύσῃ, θεοτόκε.

ᾠδὴ η'. *Τὰ σύμπαντα, δέσποτα,*

Ἐγνώρισας, πρόδρομε,
τὸν ἐν τῇ μήτρᾳ τῆς παρθένου,
ὃν καὶ προσεκύνησας
590 πρὸ τόκου καὶ σπαργάνων
καὶ τοῖς προσκιρτήμασι
f. 183 καθ||υπέδειξας, τοῦτον
κύριόν σου καλέσας,
δανεισάμενος
595 τῆς τεκούσης τὴν γλῶτταν πρὸς ὕμνον
Χριστοῦ τοῦ θεοῦ ἡμῶν.

Μιμούμενος σήμερον
τὸν Ἰωάννην, Ἰορδάνης

574 καὶ] τὸ Bl
heirm. η' EE 105, n. 147, Andreae 595 γλῶσσαν Mf

587-596 Cfr. Luc. 1,41-45 597-600 Cfr. Is. 35,2

ἐνύγροις ἐξάλμασιν
600 ἐσκίρτα παραδόξως,
ἀκούων τικτόμενον
τὸν ἰσάγγελον βίον
ἐκ πρεσβύτιδος στείρας,
τὸν εὐθύνοντα
605 τὰς ὁδοὺς καὶ τὰς τρίβους κυρίου
καὶ τοῦτον βαπτίσαντα.

Ἐχάραξε σήμερον
ὁ Ζαχαρίας ἐν πυξίῳ
ὄνομα θεόκλητον
610 προφήτου καὶ προδρόμου,
σιγῶν δὲ ἀνέκραζεν·
« Ἰωάννης καλείσθω
ὁ τεχθείς μοι ἐν γήρει »·
πρέπον γάρ ἐστι
615 τῷ ἐξ ἐπαγγελίας τεχθέντι
τὸ ξένον τῆς κλήσεως.

εἱρμὸς ἄλλος. *Ἐν πυρὶ φλογὸς παρίστανται*

Θυμιῶντι καὶ λατρεύοντι
τῷ πρεσβύτῃ ποτὲ
ἄγγελος ἐπέστη φέρων
620 εὐαγγέλια τερπνά,
τὴν ἄτεκνον καὶ στεῖραν
μητέρα μετὰ γῆρας,
τὸν ἄσπορον πατέρα υἱὸν
τεκνογονοῦντα παρ' ἐλπίδα.

625 « Νεκρωθέντι καὶ γηράσαντι
πῶς μοι ἔσται καρπὸς

vv. 602-603 in textu omissos, in margine add. Ca
heirm. alter EE 106, n. 149, Andreae (EE: *Ἐν φλογὶ πυρὸς...*) 619 ὁ ἄγγελος Bl 623 ἄπορον Ca υἱὸν om. W Bl Vq 624 παρελπίδας W Bl

604-605 Is. 40,3; Matth. 3,3 et similes locos 606 Matth. 3,13-17 et similes locos 607-616 Cfr. Luc. 1,59-66 617-624 Cfr. Luc. 1,8 ss. 625-632 Cfr. Luc. 1,18

λέξον μοι », ὁ Ζαχαρίας
πρὸς τὸν ἄγγελον φησίν·
« ἐκάμφθη μου τὸ γῆρας,
630 νενέκρωται τὰ μέλη
καὶ πόθεν ἕξω τέκνον ἐγώ;
ἡ γὰρ γυνή μου στεῖρα.

» Ἡ μορφή σου καταπλήττει με,
ἡ δὲ ξένη φωνὴ
635 πάλιν με πρὸς ἀπιστίαν
ἕλκει, ἄγγελε », φησίν·
« ἐκάμφθη μου τὸ γῆρας,
νενέκρωται τὰ μέλη
καὶ λέγεις τέκνον ἕξω ἐγώ·
640 ἡ γὰρ γυνή μου στεῖρα ».

Ἀπιστοῦντι καὶ διστάζοντι
ὁ φανεὶς ἐκβοῶν
ἔλεγε τῷ Ζαχαρίᾳ·
« τίνι κράζεις καὶ βοᾷς
645 " ἐκάμφθη μου τὸ γῆρας,
νενέκρωται τὰ μέλη ";
μικρὸν ἐπίσχες ἵνα ἰδὼν
πιστεύσῃς καὶ κωφεύσῃς.

» Οὐδὲ γῆρας οὐδὲ στείρωσις,
650 οὐ μελῶν οὐ σαρκὸς
νέκρωσις κωλύειν οἶδε
τοῦ δεσπότου τὴν βουλήν·
ἀπόσχου οὖν τοῦ λέγειν
" ἐκάμφθη μου τὸ γῆρας ",
655 θεὸς γὰρ ὅπου θέλει, σαφῶς
νικᾶται πᾶσα φύσις ».

---

629 γῆρας] σῶμα Bl 630 τὰ μέλη] τὸ σῶμα Vq 631-632 μικρὸν ἐπίσχες ἵνα ἰδὼν / πιστεύσῃς καὶ κωφεύσῃς Vq (cfr. vv. 647-648) 631 τέκνον τέξω Bl 638 τὰ μέλη] τὸ σῶμα Vq 639 λέγει W 641 διστάζουντι Bl 644 τί μοι λέγεις Bl καὶ βοᾷς] ἱερεῦ W Bl 645 καὶ κάμφθη W ἐκάφθη μοι τὸ σῶμα Bl 646 τὰ μέλη] τὸ σῶμα Ca 647 ἐπέσχες W 648 πιστεύσεις W Bl καὶ λαλήσης Ca κωφεύσεις Bl 650 σαρκῶν W Bl 651 οἶδε] δὲ Bl 653 κράζειν W post v. 654 add. νενέκρωται τὰ μέλη Bl 655-656 θεὸς γὰρ ἔνθα θέλη / νικᾶται (νικάτε Bl) φύσεως τάξεις W Bl

Ἐν ἀγκάλαις ὁ πρεσβύτατος
τὸν ἐκ στείρας καρπὸν
ἔφερεν, τοιαῦτα λέγων
660 πρὸς τὸ βρέφος ἐν χαρᾷ·
« τίς ἔλεγεν, παιδίον,
ἐμὲ τὸν νεκρωθέντα
καρπὸν ἐκ στείρας ἕξειν ποτέ,
εἰ μὴ θεὸς παρέσχεν; ».

665 « Ἀπεθέμην τῆς στειρώσεως
τὴν ἀρχαίαν ἀράν »,
σήμερον ἡ Ἐλισάβετ
ὕμνοις κράζει καὶ βοᾷ·
« ἐπαύθη μου τὸ γῆρας,
670 συγχάρητέ μοι πάντες·
ἰδοὺ γὰρ τρέφω γόνον μαζῷ
ἡ στεῖρα παρ' ἐλπίδα ».

f. 183v ‖ Τὰ παράδοξα τοῦ τόκου σου,
βαπτιστὰ τοῦ Χριστοῦ,
675 πρόδρομε, τίς ἐπαξίως
ἀνυμνήσει γηγενῶν;
ἐκ ξύλων γὰρ ἀκάρπων
ξηρῶν γεγηρακότων
ἐξήνθησας, ὡς φοῖνιξ, καρπὸς
680 ἐκ στείρας καὶ πρεσβύτου.

τριαδ. Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
τὸν προόντα θεόν,
ἕνα σε τρισὶ προσώποις
σέβοντες παναληθῶς,
685 τὸν ἄναρχον πατέρα,
υἱόν τε καὶ τὸ πνεῦμα,

---

658 καρπὸν] υἱὸν Bl 662 ἐμὲ τὸν φῶς ἐν χαρὰ W 664 παρέσχενον Ca 665 Ἐπεθέμην W 666 ἀρὰν] ποινὴν Ca 669 ἐλύθη Bl γέρας Bl 671 μαζῶν W Bl 672 παρ' ἐλπίδας W Bl 676 ἀνυμνήσαι W 681 ἀνυμνήσωμεν (σε om.) Vq 683-684 ἕνα σε ὡς ἐν προσώποις / τρισσὶ σέβοντες ἀεὶ W 684 πίστει σέβοντες ἀεὶ Bl παναληθῶς] σε ἀληθῶς Vq 686 τε] δὲ Vq

---

679 Ps. 91,13

τριάδα ἐν μονάδι μιᾷ
ἀδιαιρέτως ἡνωμένην.

θεοτ. Τίς ἀκούων οὐκ ἐξίσταται
690 ὅτι μήτραν θεὸς
ᾤκησε καὶ βρέφος ὤφθη
ἄνευ πάθους καὶ φθορᾶς;
ὢ πλοῦτος εὐσπλαγχνίας,
ὢ βάθος μυστηρίου·
695 ὁ πάντα περιέπων δρακί,
σαρκὶ ἐφανερώθη.

ᾠδὴ θ΄. *Ὑμνοῦμέν σε, ἄχραντε*
παρθενομῆτορ ἔνδοξε,
ὅτι ἀνεβλάστησας
τὸν οὐράνιον στάχυν, Χριστὸν τὸν θεόν·
5 *ὑπὲρ πᾶσαν ἔννοιαν*
ἐκ σοῦ ἄρτος γέγονε
ζωηφόρος τοῖς πιστοῖς·
διό σοι κραυγάζομεν·
« χαῖρε, δέσποινα,
10 *ἡ μείνασα παρθένος*
μετὰ τὸν τόκον, ἁγνή ».

Ἐξήνθησας, πρόδρομε,
καρπὸς ἐκ στείρας ὥριμος,
καθάπερ εὐδόκησεν
700 ὃν ἐν μήτρᾳ παρθένου ἐγνώρισας,
ἔτι ὢν ἐγγάστριος
τῆς μητρὸς τῆς σώφρονος,
ἧς τῇ γλώττῃ, βαπτιστά,
ἐκάλεσας κύριον,

687 μιᾷ om. W Bl Vq   688 αιρετῶς καὶ ἡνωμένος W   δοξολογοῦντες ἀσιγήτως Vq   691 καὶ ὤφθη βρέφος Vq   693 πλούτου Ca
heirm. θ΄ EE 105, n. 147, Andreae   heirm. 6 ἐξ οὗ Vq   7 πιστοῖς] θνητοῖς Vq   9 δέσποινα] ἄμωμε EE   10 παρθένος] ἄφθορος Vq   11 τὸν om. EE   699 ηὐδόκησεν W Vq   700 παρθένον W   v. 702 τῆς σώφρονος σήμερον Vq   703 ἧς τῇ γλώττῃ] τῇ γλώττη σου Vq

695 Is. 40,12   700-704 Luc. 1,41-45

705 ὃν ἑώρακας
οὐ σώματος ὄμμασιν,
ἀλλὰ τοῦ πνεύματος.

Πάντες προφητεύοντι
τῷ Ζαχαρίᾳ σήμερον
710 ᾠδαῖς συμφθεγξώμεθα,
« σύ, παιδίον, κληθήσῃ προφήτης θεοῦ »,
τῷ προδρόμῳ λέγοντες·
« προπορεύσῃ γάρ », φησίν,
« δοῦναι γνῶσιν τῷ λαῷ,
715 ὁ κῆρυξ τῆς χάριτος
καὶ ἀπόστολος,
καὶ τρίβους ἑτοιμάσαι
τῆς βασιλείας αὐτοῦ ».

Ἁπάντων μνημόνευε,
720 προφῆτα κῆρυξ πρόδρομε,
τῶν ἀεὶ τελούντων σου
τὰ γενέσια πίστει καὶ ἄκρᾳ σπουδῇ·
σὺ γὰρ παριστάμενος
μετ᾽ ἀγγέλων, ἔνδοξε,
725 τῷ σωτῆρι καὶ θεῷ
σὺν τῇ θεομήτορι,
πάντα δύνασαι
πρεσβεύειν τοῦ σωθῆναι
τοὺς ἀνυμνοῦντάς σε.

εἱρμὸς ἄλλος. *Ὅτι ἐποίησέ μοι*
μεγαλεῖα ὁ δυνατὸς
καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ

730 Ἐν σοὶ τὸ μέγα τοῦτο
καὶ παράδοξον ὁ θεὸς

711 προφήτης κληθήσῃ / θεοῖ W   713-714 προπορεύσῃ τοῦ δοῦναι γνῶσιν παντὶ τῷ λαῷ W   719 βασιλείας] παρουσίας W   721 τῶν ἐπιτελούντων σου W   724 ἔνδοξε] ἐν δόξῃ W   729 εὐφημοῦντας W
heirm. alter EE 106, n. 149, Andreae

711-718 Luc. 1,76-77; Mal. 3,1

ἐποίησε σημεῖον, ἱερεῦ,
f. 184 || μετὰ γῆρας γὰρ υἱὸν
καὶ μετὰ νέκρωσιν μελῶν
735 δούς σοι τὸν πρόδρομον.

«Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατός»,
λεγέτω νῦν ἡ στεῖρα μυστικῶς,
«μετὰ γῆρας γὰρ υἱὸν
740 καὶ μετὰ νέκρωσιν μελῶν
τίκτω τὸν πρόδρομον».

Ἀκουέτωσαν στεῖραι
καὶ ὑμνείτωσαν τὸν θεόν·
ἰδοὺ γὰρ Ἐλισάβετ ἐκβοᾷ·
745 «μετὰ γῆράς μου υἱὸν
καὶ μετὰ νέκρωσιν μελῶν
ἔσχον τὸν πρόδρομον».

Εὐφραίνου, Ζαχαρία,
καὶ ἀγάλλου νῦν ἐν θεῷ·
750 ἰδοὺ γὰρ Ἐλισάβετ γαλουχεῖ
μετὰ γῆρας υἱὸν
καὶ μετὰ νέκρωσιν μελῶν
Χριστοῦ τὸν πρόδρομον.

Ξένην παιδοποιίαν
755 δεῦτε ἴδωμεν, ἀδελφοί·
ἰδοὺ γὰρ Ἐλισάβετ γαλουχεῖ
μετὰ γῆρας υἱὸν
καὶ μετὰ νέκρωσιν μελῶν
Χριστοῦ τὸν πρόδρομον.

760 Δόξα τῷ δεδωκότι
μετὰ γῆρας στείρᾳ καρπὸν
καὶ δόντι τῷ πρεσβύτῃ υἱὸν

---

733 γὰρ om. Ca W   735 δούς σοι] ἔσχες W Bl Mf   738 μυστικῶς] πιστῶς Bl   739 γὰρ om. Ca, bis refert W   745 μου om. Ca   μου] γὰρ W   747 ἔσχον] τίκτω Ca, W   749 καὶ ἀγάλλου ἐν θεῶ σου Bl   751 τὸν υἱὸν W   753 Χριστοῦ] τίκτει Bl   762 καὶ φῦντι Bl Mf

---

736 s. Cfr. Luc. 1,49

ἑτοιμάζοντα αὐτῷ
τὸν περιούσιον λαὸν
765 ἐν ἐπιγνώσει αὐτοῦ.

Πάσης τῆς οἰκουμένης
βασιλέ⟨α, κοσμοσωτήρ,⟩
ἀνάδειξον ὃν ἔστεψας αὐτός,
καὶ ὑπόταξον αὐτῷ
770 τοὺς πολεμίους ὡς θεὸς
τῇ εὐσπλαγχνίᾳ σου.

τριαδ. Μονάδα σε τῇ φύσει
καὶ τριάδα σέβομεν σαφῶς
ταῖς ἰδιότησι πιστοί,
775 πάτερ ἄναρχε, υἱὲ
τοῦ συνανάρχου σου πατρὸς
καὶ πνεῦμα ἅγιον.

θεοτ. Ξένην παιδοποιίαν,
δεῦτε ἴδωμεν, ἀδελφοί,
780 βλαστήσασαν ἐν κόσμῳ ἀληθῶς·
διὸ ῥῦσαι ἐκ φθορᾶς
τοὺς ἀνυμνοῦντάς σε πιστῶς,
θεογεννήτρια.

---

763 ἑτοιμάσαι τὸν αὐτοῦ Bl Mf   764 τὸν om. Bl Mf   765 αὐτοῦ] θεῶ Bl   θεοῦ Mf   v. 767 scripsi: in Ca minime legitur

---

763-765 Cfr. Luc. 1,76-77

24 IUN. *CANON* XVI (2)

IN NATIVITATEM SANCTI JOANNIS BAPTISTAE

Canon secundum traditionem Vat. gr. 2308 = W

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

1-8 Ἡ σιωπὴ τοῦ πρεσβύτου
.... = Ca 21-28

9-16 Ἐν τῷ ναῷ θυμιῶντι
.... = Ca 29-36

17-24 Τί ἐθαμβήθης, πρεσβῦτα,
.... = Ca 37-44

25-32 Ὁ τὴν σιγὴν Ζαχαρίου
f. 5v .... = Ca 45-52

33-40 Ὢ παραδόξων πραγμάτων·
.... = Ca 53-60

41-48 Ὁ τῷ Δαυῒδ συμμαχήσας
.... = Ca 61-68

⟨τριαδ.⟩ 49-56 Τὴν ἐν μονάδι τριάδα
.... = Ca 69-76

⟨θεοτ.⟩ 57-64 Σὲ τοῦ θεοῦ τὸ χωρίον,
.... = Ca 77-84

---

tit. Ἕτερος κανὼν εἰς τὸ γεννέθλιον τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου
heirm. α' EE 106, n. 149, Andreae vv. 49-56, 57-64, nullo signo ostendit W τριαδ. et θεοτ..

εἱρμὸς ἄλλος. *Ἅρματα Φαραὼ*

65 Σήμερον ἡ φωνὴ
προελθοῦσα, τὴν φωνὴν
λύει τοῦ γεννήσαντος
ἐν τῷ ναῷ δεσμευθεῖσαν,
ἧς τὴν ἑορτὴν ἐν ᾄσμασι
70 πνευματικῶς ἀνυμνήσωμεν.

Ἄισωμεν οἱ πιστοὶ
ἐπινίκιον ᾠδὴν
μόνῳ τῷ ποιήσαντι
καρπὸν ἐκ στείρας βλαστῆσαι,
75 πρόδρομον φωνὴν καὶ κήρυκα
τῆς πρὸς ἡμᾶς παρουσίας αὐτοῦ.

Σήμερον μυστικῶς
ἡ ἀξίνη τῶν παθῶν
ὥσπερ τοῖς σκιρτήμασι
f. 6 80 τοῦ Ἰωάννου δη‖λοῦται,
τέμνουσα ἐκ ῥίζης πάντων ἡμῶν
τὴν ἀκαρπίαν τῆς φύσεως.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Ἄισμασιν εὐφημήσωμεν πάντες
τὸν ἐν γαστρὶ τῆς μητρὸς προσκιρτήσαντα.

85 Σήμερον ὁ ἀστὴρ τοῦ ἡλίου
προανατέλλει ἐκ στείρας ὁ πρόδρομος.

Σήμερον Ζαχαρίας χορεύει,
ὅτι ἐκ στείρας ἐτέχθη ὁ πρόδρομος.

---

heirm. alter EE 104, n. 147, Andreae 69 ἐν om. W 75 κήρυκα] κήρυγμα W
heirm. β' Pent II μθ'

65-68 Cfr. Luc. 1,64 78-82 Matth. 3,10; Luc. 3,9 84 Luc. 1,41

Σήμερον κατὰ τὸν Ἡσαΐαν
90 φωνὴ βοῶντος γεννᾶται ὁ πρόδρομος.

Σήμερον τῆς παρθένου τὸ θαῦμα
στεῖρα πιστοῦται γεννῶσα τὸν πρόδρομον.

Ἐσκίρτησε τὸν ἀμνὸν προμηνύσας
ἐν τῇ γαστρὶ τῆς τεκούσης ὁ πρόδρομος.

95 Λέλυκεν ἡ φωνὴ τοῦ τεκόντος
τὴν ἀφωνίαν εἰς φῶς ἐκπομπεύσασα.

Εὐφράνθητι, Ζαχαρία· ἰδοὺ γὰρ
τῶν ἐν τῇ γλώσσῃ δεσμῶν ἠλευθέρωσαι.

Ἅπαντες, βαπτιστὰ τοῦ σωτῆρος,
100 τὴν σὴν ἐκ στείρας δοξάζομεν γέννησιν.

Τίκτεται ἡ φωνὴ καὶ δωρεῖται
τὴν δεσμευθεῖσαν φωνὴν τῷ γεννήσαντι.

Ἔβλεπες, βαπτιστά, τὴν παρθένον
τὸν σὸν βαστάζουσαν κτίστην καὶ ἔχαιρες.

105 Ἡ ἔρημος ὥσπερ κρίνον ἀνθοῦσα
τὴν σὴν ἐκδέχεται, πρόδρομε, ἔλευσιν.

Ὕμνοις τὸν γεννηθέντα προφήτην
καὶ βαπτιστὴν τοῦ Χριστοῦ εὐφημήσωμεν.

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι*
ὁ θεὸς ⟨ὁ⟩ λόγος

Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
110 ὁ θεὸς ὁ λόγος,
f. 6ᵛ ὁ χα‖ρισάμενος καρπὸν
τῇ Ἐλισάβετ ἐν γήρει

---

94 τῇ] σῇ W 104 βαστάζουσα W
heirm. alter EE 104, n. 147, Andreae heirm. 2 EE W om. ὁ, quod autem troparia repetunt

---

89-90 Is. 40,3; Matth. 3,3 et similes locos 91-92 Cfr. Luc. 1,42-45
93-94 Luc. 1,41 105 Is. 35,1

μετὰ νέκρωσιν μελῶν,
τὸν κηρύξαντα λαοῖς
115 τὴν ἐμὴν βασιλείαν,
Ἰωάννην
τὸν τοῦ Ζαχαρίου υἱόν.

Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
120 ὁ Ζαχαρίου τὸν υἱὸν
ἑτοιμαστὴν τῆς ὁδοῦ
τῆς πρὸς τὸ βάπτισμα
ἀναδείξας ἐπὶ γῆς,
καὶ ἐκτέμνων τὰ πάθη
125 τῇ ἀξίνῃ
τοῦ ἁγίου πνεύματος.

Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
πρὸς ὃν ὁ πρόδρομος βοᾷ·
130 « ἴδε ἀμνὸς τοῦ θεοῦ
ὁ δι' ἡμᾶς καθ' ἡμᾶς
γεγονὼς ὑπὲρ ἡμᾶς,
ὁ καθαίρων τὸν κόσμον
καὶ βαπτίζων
135 ἐν πυρὶ καὶ πνεύματι ».

Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ ἐν τοῖς σπλάγχνοις τοῦ πατρός,
τοῦ Ζαχαρίου σιγῶντος
140 ὑποδείξας ὑμνεῖν
καί, τεχθείσης τῆς φωνῆς,
τὴν σιγὴν καταργήσας
τὴν τοῦ νόμου
μόνῃ τῇ ἰσχύι μου.

145 Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ Ἐλισάβετ τὸν καρπὸν

114-115 Matth. 3,1-2 121-122 Is. 40,3; Matth. 3,3 et similes locos
124-126 Matth. 3,10; Luc. 3,9 130-135 Joh. 1,29-33; Matth. 3,11
141-144 Cfr. Matth. 11,12 s.; Luc 16,16 147-149 Matth. 11,11; Luc. 7,28

ἐν γεννητοῖς γυναικῶν
καλέσας μείζονα,
150 καὶ μεσίτην ἀληθῆ
παλαιᾶς τε καὶ νέας
ἀναδείξας
καὶ φωνὴν καὶ πρόδρομον.

⟨εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι θεός,
ὁ θανατῶν καὶ ζωογονῶν⟩

154-160 Τίς διηγήσεται
.... = Ca 125-131

161-167 Ὄντως παράδοξον
.... = Ca 132-138

f. 7 168-174 ‖ Τίς οὐκ ἐξίσταται,
.... = Ca 139-145

175-181 Δόξα τῷ δείξαντι
.... = Ca 146-152

182-188 Φῶς ὢν ἀπρόσιτον,
.... = Ca 153-159

⟨τριαδ.⟩ 189-195 Ἔγνωμεν, ἔγνωμεν
.... = Ca 167-173

⟨θεοτ.⟩ 196-202 Χαῖρε, παράδεισε,
.... = Ca 174-180

ᾠδὴ γ'. *Ἐστερεώθη*
ἡ καρδία μου ἐν κυρίῳ

Καρπὸς ἐκ στείρας
ἀνεβλάστησας, Ἰωάννη,
205 πιστοῖς μὲν πρόξενος σωτηρίας,
τοῖς δὲ ἀπίστοις καθαίρεσις ἢ διόρθωσις.

---

tertium heirm. EE 105, n. 148, Andreae, silet W, ubi vv. 154-202 referuntur, ut vv. 109-153, secundum heirm. EE 104, n. 147, Andreae, qui vero iis minime aptatur: cfr. etiam traditionem cdd. Ca (1) et Vq (4), pp. 182,230
heirm. γ' EE 107, n. 150, Andreae

Ἑτοιμαστήν σε
προεδήλου τῆς μετανοίας
ἡ χάρις, πρόδρομε Ἰωάννη,
210 τὸν ἐκ γαστρὸς προκηρύξαντα τὸν θεὸν ἡμῶν.

Φωνὴ βοῶντος
προεγράφης τῷ Ἡσαΐᾳ
f. 7v ‖ ὡς σάλπιγξ κράζουσα ἐν ἐρήμοις
καὶ τὰς ὁδοὺς ἑτοιμάζουσα τοῦ θεοῦ ἡμῶν.

εἱρμὸς ἄλλος. *Μὴ καυχάσθω ὁ καυχώμενος*

215-221 Τοῖς ἁγίοις ἐμβατεύοντι
.... = Ca 240-246

222-228 « Τὰ τοῦ γήρως ὑπερήκμασε
.... = Ca 212-218

229-235 « Πεπαλαίωται τὸ σῶμά μου
.... = Ca 219-225

236-242 Δεῦτε πάντες θεασώμεθα
.... = Ca 226-232

243-249 Ἐν ᾠδαῖς ἀνευφημήσωμεν
.... = Ca 205-211

250-256 Τὴν ἀξίνην καθυπέταξας
.... = Ca 233-239

⟨τριαδ.⟩ 257-263 Ἀδιαίρετον θεότητα,
.... = Ca 254-260

⟨θεοτ.⟩ Ὡς νεφέλην θεοχώρητον,
265 παρθενομῆτορ,
f. 8 ἐν ᾗ ‖ καταβέβηκεν
ὡς ὑετὸς ἐν μήτρᾳ σου
ὁ ὑπερούσιος
ἀναπλάσαι πάντας ἡμᾶς,
270 ἀνυμνοῦμέν σε καὶ μακαρίζομεν.

---

heirm. alter EE 106, n. 149, Andreae

211-214 Is. 40,3; Matth. 3,3 etc. 264 Is. 19,1 266ss. Ps. 71,6

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἡ μετάνοια ἤνοικται
τῇ σῇ γεννήσει, πρόδρομε κῆρυξ·
σὺ γὰρ μόνος προεκήρυξας ἀνακράζων·
« μετανοεῖτε,
275 ἡ βασιλεία γὰρ ἤγγικεν ».

Παρθενία κρατύνεται
καὶ σωφροσύνη πανηγυρίζει
καὶ ἡ ἔρημος εὐφραίνεται καὶ ὁ κόσμος
ἑορτάζει
280 τῇ γεννήσει σου, πρόδρομε.

Ἐλισάβετ ἀγάλλεται
καὶ Ζαχαρίας φθέγγεται πάλιν,
καὶ ἡ μὲν ἀνακαινίζεται μετὰ γῆρας,
ὁ δὲ αὖθις
285 τῇ φωνῇ ἐκλαμπρύνεται.

εἱρμὸς ἄλλος. *Ἀκήκοεν ὁ προφήτης*

286-293 Καὶ πρὶν εἰς φῶς προελθεῖν σε,
.... = Ca 286-293

294-301 Ἐν τοῖς ἀδύτοις μολοῦντι
.... = Ca 294-301

302-309 « Κατὰ τί γνώσομαι τοῦτο; »
.... = Ca 302-309

310-317 » Τί ἀπιστεῖς, ὦ πρεσβῦτα,
.... = Ca 310-317

---

heirm. δ' EE 107, n. 150, Andreae 271 μετάνοι W ἠνέοκται Mf
284-285 ὁ δὲ χαίρει / τῇ γεννήσει σου πρόδρομε W
heirm. alter TR 66

274-275 Matth. 3,2 278 Is. 35,1

318-325 » Οὐκ ἤκουσας, ὦ πρεσβῦτα,
f. 8v .... = Ca 318-325

326-333 » Ἡ ῥάβδος πῶς ξηρανθεῖσα
.... = Ca 326-333

334-341 » Μὴ ἀπιστήσῃς, πρεσβῦτα »,
.... = Ca 334-341

Τὴν πάνσεμνον ἐκκλησίαν
μιμεῖται νῦν ἡ στείρωσις
τῆς Ἐλισάβετ·
345 ἐξ ἀτέκνου γὰρ καλλίτεκνος
ἀνεδείχθη·
θαῦμα, πῶς ἡ πάλαι ξηρὰ
ἐν γήρει υἱὸν
βλαστάνει τὸν πρόδρομον.

⟨τριαδ.⟩ 350-357 Πατήρ, υἱὸς καὶ τὸ πνεῦμα
.... = Ca 350-357

⟨θεοτ.⟩ Ἐν σοὶ τὸ μέγα ἐπράχθη
μυστήριον, πανάχραντε,
360 τῆς σωτηρίας·
ἐν γαστρί σου γὰρ ἐσκήνωσεν,
θεοτόκε,
λόγος ζῶν ἀΐδιος,
ὁ πάντων θεὸς
365 γενόμενος ἄνθρωπος.

ᾠδὴ ε'. *Ὄρθρον φαεινὸν ἡμῖν ἐξανάτειλον*

366-369 Ξένον τὸ μυστήριον καὶ παράδοξον
.... = Ca 374-377

370 Ὡς λύχνον σε, πρόδρομε, προαπέστειλε
φῶς ὁ Χριστός,

---

342 πάνσεπτον Bl 345 ἐξ αγόνου Bl 346 ἀνεδείχθης Bl 358 ἐπράθη Bl 361 ἐσκήνωσας W 363 ζῶν] ὢν W, ὁ Bl
heirm. ε' EE 107, n. 150, Andreae

---

370 s. Cfr. Ps. 131,17; Joh. 1,6-8

τὸν τῇ γλώσσῃ τῆς μητρὸς προκηρύξαντα
τὸ φῶς τὸ ἀνέσπερον.

374-377 Ἐν γαστρὶ ἐσκίρτησας προκηρύττων σου
.... = Ca 378-381

f. 9 ‖ εἱρμὸς ἄλλος. *Ἀνάτειλόν μοι, κύριε,*

378-384 Ἀστέρα προητοίμασας,
.... = Ca 382-388

385-391 « Μὴ φθέγξῃ, μὴ ἀντίλεγε,
.... = Ca 389-395

392-398 « Πρεσβῦτα, μὴ ἀμφίβαλλε·
.... = Ca 396-402

399-405 » Τὸν Ἀβραὰμ πῶς ἤκουσας
.... = Ca 403-409

406-412 Προφῆτα κῆρυξ πρόδρομε,
.... = Ca 410-416

⟨τριαδ.⟩ 413-419 Τριὰς ἁγία, δόξα σοι,
.... = Ca 417-423

⟨θεοτ.⟩ 420 Σὲ πύλην ἀδιόδευτον
καὶ νύμφην ἀπειρόγαμον,
τὴν θεομήτορα παρθένον
ἀξίως εὐφημοῦντες,
τὸν ἐκ σοῦ δοξάζομεν,
425 θεοτόκε, ἄτρεπτον
υἱὸν καὶ λόγον τοῦ πατρός.

ᾠδὴ ϛ'. *Ζάλη με λογισμῶν καταλαβοῦσα*

427-432 Σήμερον τῆς ἐρήμου ὁ πολίτης
f. 9v .... = Ca 431-436

heirm. alter EE 106, n. 149, Andreae
heirm. ϛ' EE 107 n. 150, Andreae

372s. Cfr. Luc. 1,41-45 420 Ez. 44,2

Σήμερον ἡ ἀξίνη χαλκευθεῖσα
ἐκτομὴν προβάλλεται
435 τῆς τῶν ψυχῶν ἀκαρπίας,
καὶ φυτεύει καρποὺς τῆς ἀρετῆς
καὶ πήγνυται συντόνως
ἐν τῇ γεννήσει σου, πρόδρομε.

439-444 Ὁ λύχνος τοῦ φωτὸς τῆς παρουσίας
.... = Ca 437-442

εἱρμὸς ἄλλος. *Ἐν πελάγει τοῦ βίου*

445-451 Ἐν ἐρήμοις καρδίαις
.... = Ca 449-455

452-458 Λειτουργοῦντα πρεσβύτην
.... = Ca 456-462

459-465 Τί ἐξέστης, πρεσβῦτα,
.... = Ca 463-469

466-472 Καὶ τί ξένον, πρεσβῦτα,
.... = Ca 470-476

473-479 Τὸ τεχθὲν αὐτῇ βρέφος
.... = Ca 484-490

f. 10 480 ‖ Ὡς Δαυὶδ ἐν πολέμοις
τῷ νέῳ Δαυὶδ
συμμάχησον, Χριστέ,
καὶ ὡς τῷ πάλαι Ἰησοῦ τῷ τοῦ Ναυῆ,
τῶν ἐχθρῶν τοὺς αὐχένας
485 ὑπόταξον, κύριε,
τῷ πιστῷ βασιλεῖ ταῖς νίκαις.

⟨θεοτ.⟩ Χερουβὶμ ὑπερτέρα
καὶ τῶν σεραφὶμ
ἐδείχθης ἀληθῶς,

437 καὶ πήγνυται] ἐπείγεται W
heirm. alter EE 106, n. 149, Andreae 483 τοῦ om. W

433-435 Matth. 3,10; Luc. 3,9

490 ἡ ἐν γαστρί σου τὸν ἀχώρητον θεὸν
τὸ ἀείζωον ἄνθος
χωρήσασα, ἄχραντε
καὶ κιβωτὲ τῆς ἁγίας δόξης.

ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ, ὁ θεός,*

494-498 Μωσαϊκῶς ἐκπληρῶν
.... = Ca 498-502

499-503 » Ἕξεις ἐν γήρει », φησίν,
.... = Ca 503-507

504-508 » Μέγας γὰρ ἔσται », φησίν,
.... = Ca 508-512

εἱρμὸς ἄλλος. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

509-515 Ὁ Ζαχαρίας σιγήσας
.... = Ca 538-544

516-522 Τὴν ἐκκλησίαν μιμεῖται
.... = Ca 545-551

523-529 Τῇ τοῦ προδρόμου γεννήσει
.... = Ca 552-558

f. 10v 530 ‖ Τῷ βασιλεῖ ἐν πολέμοις,
Χριστέ, συστρατήγησον,
νικηφόρον δεικνὺς αὐτὸν
κατὰ τῶν ἐχθρῶν ἡμῶν·
τὴν σὴν γὰρ ὁπλιζόμενος
535 συμμαχίαν τροποῦται
τοὺς ἀντιτασσομένους.

---

heirm. ζ' EE 105, n. 148, Andreae
heirm. alter EE 101, n. 143, Cosmae 536 τοὺς ἀντιτασσομένους] ἐχθρῶν τὰς παρατάξεις Bl

---

493 Ex. 25,10

⟨τριαδ.⟩ Ἡ τρισυπόστατος φύσις,
ἡ ἄκτιστος δύναμις,
ἡ ὑπέρθεος σύνευσις,
540 τὸ φῶς τὸ ὑπέρλαμπρον,
ἡ ζωὴ ἡ αἰώνιος,
ἡ τρισήλιος αἴγλη,
οἰκτείρησον τὸν κόσμον.

⟨θεοτ.⟩ Ἡ ὑπερθαύμαστος αὕτη
545 παστὰς τοῦ ἑνώσαντος
ἑαυτῷ τὸ ἀνθρώπινον,
θεὸν μόνη ἔτεκες
καὶ παρθένος διέμεινας,
ἡ θεόνυμφος μήτηρ,
550 Μαρία θεοτόκε.

ᾠδὴ η'. *Ἐν πυρὶ φλογὸς παρίστανται*

551-558 Θυμιῶντι καὶ λατρεύοντι
.... = Ca 617-624

559-566 « Νεκρωθέντι καὶ γηράσαντι
.... = Ca 625-632

567-574 » Ἡ μορφή σου καταπλήττει με,
.... = Ca 633-640

575-582 Ἀπιστοῦντι καὶ διστάζοντι
.... = Ca 641-648

f. 11 583-590 ‖ » Οὐδὲ γῆρας οὐδὲ στείρωσις,
.... = Ca 649-656

591-598 Ἐν ἀγκάλαις ὁ πρεσβύτατος
.... = Ca 657-664

599-606 « Ἀπεθέμην τῆς στειρώσεως
.... = Ca 665-672

607-614 Τὰ παράδοξα τοῦ τόκου σου,
.... = Ca 673-680

---

heirm. η' EE 106, n. 149, Andreae

---

545 Ps. 18,6

615 Τοὺς ἐχθροὺς ἡμῶν κατάβαλε
τῇ παλάμῃ τῇ σῇ,
κύριε, καὶ ὅπλον νίκης
τῷ κρατίστῳ βασιλεῖ
παράσχου ἐν πολέμοις
620 τὸν τίμιον σταυρόν σου,
ἐχθροὺς καθυποτάσσων αὐτῷ
καὶ τοὺς τῆς Ἄγαρ πλέον.

⟨τριαδ.⟩ 623-630 Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
.... = Ca 681-688

⟨θεοτ.⟩ 631-638 Τίς ἀκούων οὐκ ἐξίσταται
f. 11ᵛ .... = Ca 689-696

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

639-644 Ἐν σοὶ τὸ μέγα τοῦτο
.... = Ca 730-735

645-650 « Ὅτι ἐποίησέ μοι
.... = Ca 736-741

651-656 Ἀκουέτωσαν στεῖραι
.... = Ca 742-747

657-662 Εὐφραίνου, Ζαχαρία,
.... = Ca 748-753

εἱρμὸς ἄλλος. *Ὑμνοῦμέν σε, ἄχραντε,*

663-673 Ἐξήνθησας, πρόδρομε,
.... = Ca 697-707

Ἀξίνη χαλκεύεται
675 κατὰ παθῶν ὁ πρόδρομος,
ἅπασαν ἐκτέμνουσα
τῶν παθῶν τῶν ἐν βίῳ τὴν ἄκανθαν
διὰ τοῦ κηρύγματος

---

617 ὅπλοις νίκοις Bl 622 τοὺς ἐκ γῆς ἄγαρ πλέον Bl
heirm. θ' EE 106, n. 149, Andreae
heirm. alter EE 105, n. 147, Andreae 676 ἐκτέμνουσαν W

674-677 Matth. 3,10; Luc. 3,9 678-679 Joh. 1,29

τοῦ ἀμνοῦ τῆς χάριτος,
680 καὶ ἐκφύουσα καρποὺς
τῆς ἄνωθεν κλήσεως,
τῷ βαπτίσματι
παράδεισον δείκνυσι
τὴν ἐκκλησίαν Χριστοῦ.

685-695 Πάντες προφητεύοντι
f. 12 .... = Ca 708-718

696-706 Ἁπάντων μνημόνευε,
.... = Ca 719-729

⟨τριαδ.⟩ Τριάδα δοξάζοντες
τὴν συμφυῆ καὶ σύνθρονον,
μονάδα ὑμνήσωμεν
710 σὺν πατρὶ καὶ υἱῷ καὶ τὸ πνεῦμα τὸ ζῶν,
ἓν τὰ τρία λέγοντες
καὶ τὰ τρία ἓν σαφῶς,
καὶ κατὰ φύσιν ἀληθῶς
τὰ τρία ἄναρχα,
715 τρία σύνθρονα
καὶ τρία συνάναρχα
καὶ ὁμοούσια.

⟨θεοτ.⟩ Χαῖρε, μήτηρ ἄχραντε,
χαῖρε, θεοῦ παράδεισε,
720 χαῖρε, πόλις ἔμψυχε,
χαῖρε, ἡ ἐκ τῆς ῥίζης βλαστήσασα
Ἰεσσαί, ὡς γέγραπται,
χαῖρε, ἡ ἀνθήσασα
ἐκ γαστρὸς ἄνευ σπορᾶς
725 τὸν κτίστην τὸν ἴδιον
ὡς ηὐδόκησεν,
χαῖρε, ἡ μετὰ τόκον
παρθένος μείνασα.

---

680 φύουσα τοὺς W 683 δεικνύει W 707 δοξάσωμεν Vq 710 σὺν πατρὶ τὸν υἱὸν καὶ τῷ πνεύματι Vq 713-717 κατὰ τὴν ὑπόστασιν / τὴν ἑνάδα μονάδα / προσκυνήσωμεν / τρισὶ δὲ συνάπτοντες / καὶ διαιροῦντες εἰς ἓν Vq 721 χαῖρε νύμφη ἐκ ῥίζης βλαστήσασα Vq v. 722 om. Vq

---

721-722 Is. 11,1

24 IUN. *CANON* XVI (3)

IN NATIVITATEM SANCTI JOANNIS BAPTISTAE

Canon secundum traditionem Barber. gr. 377 = Bl

Ὁ κανών, ποίημα κυροῦ Ἀνδρέου Κρήτης.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Τῷ ὁδηγήσαντι πάλαι*

1-8 Ἡ σιωπὴ τοῦ πρεσβύτου
.... = Ca 21-28

9-16 Ἐν τῷ ναῷ θυμιῶντι
f. 148 .... = Ca 29-36

17-24 Τί ἐθαμβήθης, πρεσβῦτα,
.... = Ca 37-44

τριαδ. 25-32 Τὴν ἐν μονάδι τριάδα
.... = Ca 69-76

θεοτ. 33-40 Σὲ τοῦ θεοῦ τὸ χωρίον,
.... = Ca 77-84

f. 148ᵛ ᾠδὴ γʹ. *Μὴ καυχάσθω ὁ καυχώμενος*

41-47 Ἐν ᾠδαῖς ἀνευφημήσωμεν
.... = Ca 205-211

48-54 « Τὰ τοῦ γήρως ὑπερήκμασε
f. 149 .... = Ca 212-218

---

tit. ἕτερος κανὼν τοῦ ἁγίου: ποίημα ... Bl, qui alternatis odis duos canones praebet: priorem inc. Ὡς ὄρθρος εὐπρεπὴς MR V, 351, alterum quem referimus
heirm. αʹ EE 106, n. 149, Andreae
heirm. γʹ EE 106, n. 149, Andreae

55-61 « Πεπαλαίωται τὸ σῶμά μου
.... = Ca 219-225

62-68 Δεῦτε πάντες θεασώμεθα
.... = Ca 226-232

69-75 Τοῖς ἁγίοις ἐμβατεύοντι
.... = Ca 240-246

76-82 Τῷ κρατίστῳ βασιλεῖ ἡμῶν
f. 149ᵛ .... = Ca 247-253

τριαδ. 83-89 Ἀδιαίρετον θεότητα,
.... = Ca 254-260

θεοτ. 90-96 Ὦ γαστὴρ οὐρανὸν φέρουσα,
.... = Ca 261-267

Κάθισμα.

Ἦχος δʹ. *Κατεπλάγη Ἰωσήφ*

Θαῦμα ἄνωθεν φρικτὸν
ἐπίσταται ὁ Ἰσραήλ,
ὅτε ἔνδον τοῦ ναοῦ
ὁ Ζαχαρίας τῷ θεῷ
5 ἱερουργῶν τὸ θυμίαμα διετέλει,
ἀγγέλου πρὸς αὐτὸν
φωνοῦντος ἤκουεν·
« γεννήσεις υἱὸν
παρ' ἐλπίδα τὴν σήν,
10 πολλοὶ δὲ καὶ χαρήσονται παιδίου
τοῦ τικτομένου τὴν ἔλευσιν·
αὐτὸς γὰρ ὄντως
καθοδηγήσει
τὸν λαὸν τοῦ κυρίου ».

---

heirm. καθ. MR V, 350 primum κάθ. etiam Vq refert 2 ὁ Ἰσραὴλ] τῷ ἱερεῖ Bl 4 τῷ θεῷ] τὸν ναὸν Bl 5 ἱερουργῶ τῶ θυμιάτι Bl 7 βοῶντος ἤκουσε Bl 8 γὰρ υἱὸν Bl 10 παιδίον Vq

---

8-14 Cfr. Luc. 1,13-17

Ἕτερον ⟨κάθισμα⟩.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

f. 150 ‖ Προέρχεται σήμερον
νῦν ἡ τοῦ λόγου φωνή,
βοῶσα· « εὐθύνατε
νῦν τὴν ὁδὸν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν·
5 ἤγγικε γὰρ ὄντως οὐρανῶν βασιλεία
βλαστήσασα μετανοίας
ἀληθῶς εὐκαρπίαν·
συνδράμωμεν οὖν ἅπαντες
σπεύδοντες πρὸς τὴν ὄντως ζωήν.

θεοτ. ὅμοιον.

Ἐκαίνισας, ἄχραντε, τῷ θείῳ τόκῳ σου
. . . .

f. 150ᵛ ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

97-104 Καὶ πρὶν εἰς φῶς προελθεῖν σε,
f. 151 . . . . = Ca 286-293

105-112 Ἐν τοῖς ἀδύτοις μολοῦντι
. . . . = Ca 294-301

113-120 » Τί ἀπιστεῖς, ὦ πρεσβῦτα,
. . . . = Ca 310-317

121-128 » Οὐκ ἤκουσας, ὦ πρεσβῦτα,
. . . . = Ca 318-325

129-136 » Μὴ ἀπιστήσῃς, πρεσβῦτα »,
. . . . = Ca 334-341

137-144 « Τίς ἔγνω, τίς εἶδε στεῖραν »,
f. 151ᵛ . . . . = Ca 342-349

---

heirm. alterius καθ. HR 63 θεοτ. ὅμοιον MR I, 292
heirm. δ' TR 66

3-5 Cfr. Matth. 3,2-3

145-152 Τὴν πάνσεμνον ἐκκλησίαν
. . . . = W 342-349

153-160 « Κατὰ τί γνώσομαι τοῦτο; »
. . . . = Ca 302-309

161-168 » Ἡ ῥάβδος πῶς ξηρανθεῖσα
. . . . = Ca 326-333

τριαδ. 169-176 Πατήρ, υἱὸς καὶ τὸ πνεῦμα
f. 152 . . . . = Ca 350-357

θεοτ. 177-184 Ἐν σοὶ τὸ μέγα ἐπράχθη
. . . . = W 358-365

f. 152ᵛ ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

185-191 Ἀστέρα προητοίμασας,
. . . . = Ca 382-388

192-198 « Μὴ φθέγξῃ, μὴ ἀντίλεγε,
. . . . = Ca 389-395

199-205 « Πρεσβῦτα, μὴ ἀμφίβαλλε·
f. 153 . . . . = Ca 396-402

206-212 » Τὸν Ἀβραὰμ πῶς ἤκουσας
. . . . = Ca 403-409

213-219 Προφῆτα κῆρυξ πρόδρομε,
. . . . = Ca 410-416

220 Ἐχθροὺς καθυποτάξει σοι
Χριστὸς ὁ στεφανώσας σε
καὶ τοὺς τῆς Ἄγαρ ἀναλώσει
διὰ σοῦ, αὐτοκράτορ,
τοῦ σταυροῦ τὸ τρόπαιον
225 ἀποκαθιστάνων σοι,
πάσας τὰς πόλεις τῶν πιστῶν.

τριαδ. 227-233 Τριὰς ἁγία, δόξα σοι,
f. 153ᵛ . . . . = Ca 417-423

θεοτ. 234-240 Ὡς πύλην ἀδιόδευτον
. . . . = Ca 424-430

---

heirm. ε' EE 106, n. 149, Andreae

f. 154 ᾠδὴ ϛʹ. *Ἐν πελάγει τοῦ βίου*

241-247 Ἐν ἐρήμοις καρδίαις
.... = Ca 449-455

248-254 Λειτουργοῦντα πρεσβύτην
.... = Ca 456-462

255-261 Τί ἐξέστης, πρεσβῦτα,
.... = Ca 463-469

262-268 Ὡς Δαυῒδ ἐν πολέμοις
f. 154ᵛ .... = W 480-486

τριαδ. Ἀνυμνήσωμεν πάντες
270 τριάδα, πιστοί,
τὸν ἄναρχον θεόν,
σὺν τῷ πατρὶ τὸν λόγον καὶ τὸ πνεῦμα τὸ εὐθές,
ἐκβοῶντες συμφώνως·
« ἁγίασον, φώτισον,
275 ὁ θεός, τὴν σὴν κληρουχίαν ».

θεοτ. 276-282 Χαῖρε, ἄφλεκτε βάτε,
.... = Ca 491-497

Κοντάκιον.

Ἦχος γʹ. *Ἡ παρθένος σήμερον*

Ἡ πρὶν στεῖρα σήμερον
....

Ὁ οἶκος.

Εὐφημήσωμεν νῦν
τὸν τοῦ κυρίου πρόδρομον
....

heirm. ϛʹ EE 106, n. 149, Andreae   κοντάκ. et οἶκ. MR V, 355-356

f. 158ᵛ ᾠδὴ ζʹ. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

283-289 Ὁ Ζαχαρίας σιγήσας
f. 159 .... = Ca 538-544

290-296 Τὴν ἐκκλησίαν μιμεῖται
.... = Ca 545-551

297-303 Τῇ τοῦ προδρόμου γεννήσει
.... = Ca 552-558

304-310 Τὸν πρὸ ἡλίου δραμόντα
.... = Ca 559-565

Ὡς πρὸ ἡλίου δραμόντα
ἀστέρα σε, πρόδρομε,
καὶ τὴν ἄφραστον σάρκωσιν
Χριστοῦ τοῦ θεοῦ ⟨ἡμῶν⟩
315 ἐκ γαστρὸς προμηνύσαντα,
καὶ θεὸν ἐπιγνόντα
f. 159ᵛ ἀξίως ‖ εὐφημοῦμέν σε.

318-324 Ὡς παλαιᾶς τε καὶ νέας
.... = Ca 566-572

325-331 Τῷ βασιλεῖ ἐν πολέμοις,
.... = W 530-536

τριαδ. 332-338 Σὺν τῷ υἱῷ τὸν πατέρα
.... = Ca 573-579

θεοτ. 339-345 Τὸν ἐν γαστρί σου, παρθένε,
.... = Ca 580-586

heirm. ζʹ EE 101, n. 143 Cosmae   314 ἡμῶν metri causa scripsi

311-312 Cfr. Ps. 131,17; Joh. 1,6-8   313-316 Cfr. Luc. 1,41

f. 160v || ᾠδὴ η΄. *Ἐν πυρὶ φλογὸς παρίστανται*

346-353 Θυμιῶντι καὶ λατρεύοντι
.... = Ca 617-624

354-361 « Νεκρωθέντι καὶ γηράσαντι
.... = Ca 625-632

362-369 Ἀπιστοῦντι καὶ διστάζοντι
.... = Ca 641-648

370-377 « Οὐδὲ γῆρας οὐδὲ στείρωσις,
f. 161 .... = Ca 649-656

378-385 Ἐν ἀγκάλαις ὁ πρεσβύτατος
.... = Ca 657-664

386-393 « Ἀπεθέμην τῆς στειρώσεως
.... = Ca 665-672

394-401 Τοὺς ἐχθροὺς ἡμῶν κατάβαλε
f. 161v .... = W 615-622

⟨τριαδ.⟩ 402-409 Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
.... = Ca 681-688

⟨θεοτ.⟩ 410-417 Τίς ἀκούων οὐκ ἐξίσταται
.... = Ca 689-696

f. 162 ᾠδὴ θ΄. *Ὅτι ἐποίησέ μοι*

418-423 Ἐν σοὶ τὸ μέγα τοῦτο
.... = Ca 730-735

424-429 « Ὅτι ἐποίησέ μοι
f. 162v .... = Ca 736-741

heirm. η΄ EE 106, n. 149, Andreae   vv. 402-409, 410-417 τριαδ. et θεοτ. non ostendit Bl
heirm. θ΄ EE 106, n. 149, Andreae

430-435 Ἀκουέτωσαν στεῖραι
.... = Ca 742-747

436-441 Εὐφραίνου, Ζαχαρία,
.... = Ca 748-753

442-447 Ξένην παιδοποιίαν
.... = Ca 754-759

[τριαδ.] 448-453 Δόξα τῷ δεδωκότι
.... = Ca 760-765

θεοτ. Ἐν σοὶ κατασκηνώσας
f. 163 455 ὁ ἐν κόλποις || ὢν τοῦ πατρός,
ἐτέχθη ἄνευ πάθους καὶ φθορᾶς
καὶ κατήλλαξεν ἡμᾶς
δι' εὐσπλαγχνίαν πολλήν,
θεογεννῆτορ ἁγνή.

vv. 448-453 ut τριαδ. refert Bl perperam   458 πολλὴν] τῷ πατρὶ Mf

24 IUN. *CANON* XVI (4)

IN NATIVITATEM SANCTI JOANNIS BAPTISTAE

Canon secundum traditionem Vat. gr. 1547 = Vq

Ὁ κανών, ποίημα Ἀνδρέου Κρήτης.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

1-8 Ἡ σιωπὴ τοῦ πρεσβύτου
.... = Ca 21-28

9-16 Ἐν τῷ ναῷ θυμιῶντι
.... = Ca 29-36

17-24 Τί ἐθαμβήθης, πρεσβῦτα,
f. 142 .... = Ca 37-44

τριαδ. 25-32 Τὴν ἐν μονάδι τριάδα
.... = Ca 69-76

θεοτ. 33-40 Σὲ τοῦ θεοῦ τὸ χωρίον,
.... = Ca 77-84

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

41-47 Τίς διηγήσεται
.... = Ca 125-131

48-54 Ὄντως παράδοξον
f. 142v .... = Ca 132-138

heirm. α' EE 106, n. 149, Andreae
heirm. β' EE 105, n. 148, Andreae

55-61 Δόξα τῷ δείξαντι
.... = Ca 146-152

τριαδ. 62-68 Ἔγνωμεν, ἔγνωμεν
.... = Ca 167-173

θεοτ. 69-75 Χαῖρε, παράδεισε,
.... = Ca 174-180

ᾠδὴ γ'. *Μὴ καυχάσθω ὁ καυχώμενος*
f. 143 .... = Ca

76-82 Ἐν ᾠδαῖς ἀνευφημήσωμεν
.... = Ca 205-211

83-89 « Τὰ τοῦ γήρως ὑπερήκμασε
.... = Ca 212-218

90-96 « Πεπαλαίωται τὸ σῶμά μου
.... = Ca 219-225

τριαδ. 97-103 Ἀδιαίρετον θεότητα
f. 143v .... = Ca 254-260

θεοτ. 104-110 Ὦ γαστὴρ οὐρανὸν φέρουσα
.... = Ca 261-267

Κάθισμα.

Ἦχος δ'. *Κατεπλάγη Ἰωσήφ*

Θαῦμα ἄνωθεν φρικτὸν
.... = Bl

ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

111-118 Καὶ πρὶν εἰς φῶς προελθεῖν σε,
f. 144 .... = Ca 286-293

heirm. γ' EE 106, n. 149, Andreae, integrum referunt Vq Ca: cfr. p. 185
varias lectiones καθ. in Vq cfr. in traditione Bl (3), p. 223
heirm. δ' TR 66

236-240 « Ταῦτα πῶς ἔσται; », φησὶ
.... = Ca 513-517

[θεοτ.] 241-245 « Ἔγνως », φησίν, « ἱερεῦ,
.... = Ca 518-522

ᾠδὴ η'. *Ἐν πυρὶ φλογὸς παρίστανται*

246-253 Θυμιῶντι καὶ λατρεύοντι
.... = Ca 617-624

254-261 « Νεκρωθέντι καὶ γηράσαντι
f. 147 .... = Ca 625-632

262-269 » Ἡ μορφή σου καταπλήττει με,
.... = Ca 633-640

τριαδ. 270-277 Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
.... = Ca 681-688

θεοτ. 278-285 Τίς ἀκούων οὐκ ἐξίσταται
.... = Ca 689-696

ᾠδὴ θ'. *Ὑμνοῦμέν σε, ἄχραντε,*
f. 147v ....

286-296 Ἐξήνθησας, πρόδρομε,
.... = Ca 697-707

Παρθένος ἠσπάζετο
τὴν γηραιὰν καὶ σώφρονα,
κἀκείνη μὲν ἔφερεν
300 ἐν κοιλίᾳ τὸν κτίστην τὸν ἴδιον,

241-245 troparium ut θεοτ. refert Vq
heirm. η' EE 106, n. 149, Andreae
heirm. θ' EE 105, n. 147 Andreae, integrum refert Vq, cuius varias lectiones cfr. in traditione Ca (1), p. 204

297-307 Cfr. Luc. 1,39-45

αὕτη δὲ τὸν πρόδρομον,
τὴν φωνὴν καὶ σάλπιγγα
τοῦ πατρὸς καὶ τοῦ υἱοῦ·
ἡ μὲν τὸν οὐράνιον
305 καὶ ἐπίγειον,
ἡ δὲ τὸν ἐν σώματι
ὄντα ἰσάγγελον.

308-318 Ἀξίνη χαλκεύεται
f. 148 .... = W 674-684

τριαδ. 319-329 Τριάδα δοξάζοντες
.... = W 707-717

θεοτ. 330-340 Χαῖρε, μήτηρ ἄχραντε,
.... = W 718-728

119-126 Ἐν τοῖς ἀδύτοις μολοῦντι
.... = Ca 294-301

127-134 » Τί ἀπιστεῖς, ὦ πρεσβῦτα,
.... = Ca 310-317

τριαδ. 135-142 Πατήρ, υἱὸς καὶ τὸ πνεῦμα
.... = Ca 350-357

θεοτ. 143-150 Ἐν σοὶ τὸ μέγα ἐπράχθη
.... = W 358-365

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

f. 144ᵛ 151-157 ‖ Ἀστέρα προητοίμασας,
.... = Ca 382-388

158-164 « Μὴ φθέγξῃ, μὴ ἀντίλεγε,
.... = Ca 389-395

165-171 « Πρεσβῦτα, μὴ ἀμφίβαλλε·
.... = Ca 396-402

τριαδ. 172-178 Τριὰς ἁγία, δόξα σοι,
.... = Ca 417-423

θεοτ. 179-185 Ὡς πύλην ἀδιόδευτον
f. 145 .... = Ca 424-430

ᾠδὴ ς'. *Ἐν πελάγει τοῦ βίου*
ταῖς πράξεσί μου
κατῆλθον εἰς ᾅδην,
ἀλλ' ὡς ἐκ κήτους Ἰωνᾶς οὕτως βοῶ·
5 *« ἐκ βυθοῦ τῶν κακῶν μου*
ἀνάγαγε, δέομαι,
Ἰησοῦ υἱὲ τοῦ θεοῦ καὶ λόγε ».

186-192 Ἐν ἐρήμοις καρδίαις
.... = Ca 449-455

heirm. ε' EE 106, n. 149, Andreae
heirm. ς' EE 106, n. 149, Andreae heirm. 4 οὕτω βοῶ σοι EE
7 Ἰησοῦ om. EE

193-199 Λειτουργοῦντα πρεσβύτην
.... = Ca 456-462

200-206 Τί ἐξέστης, πρεσβῦτα,
.... = Ca 463-469

f. 145ᵛ 207-213 ‖ Τὸ τεχθὲν αὐτῇ βρέφος
.... = Ca 484-490

θεοτ. 214-220 Χαῖρε, ἄφλεκτε βάτε,
.... = Ca 491-497

Κοντάκιον.

Ἦχος γ'. *Ἡ παρθένος σήμερον*

Ἡ πρὶν στεῖρα σήμερον
....

Ὁ οἶκος.

Εὐφημήσωμεν νῦν
τὸν τοῦ κυρίου πρόδρομον
f. 146 ....

ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ, ὁ θεός,*
ἐν τῇ καμίνῳ οἱ παῖδες
ὑμνολογοῦντες ἀγγέλου ἤκουον
βοῶντος πρὸς αὐτούς·
5 *« ἤδη εἰσηκούσθη ἡ δέησις ὑμῶν ».*

221-225 Μωσαϊκῶς ἐκπληρῶν
.... = Ca 498-502

226-230 » Ἕξεις ἐν γήρει », φησίν,
.... = Ca 503-507

231-235 » Μέγας γὰρ ἔσται », φησίν,
f. 146ᵛ .... = Ca 508-512

κοντάκ. et οἶκ. MR V, 355-356
heirm. ζ' EE 105, n. 148, Andreae heirm. 5 ἤδη] ἴδε EE

24 IUN. *CANON* XVI (5)

IN NATIVITATEM SANCTI JOANNIS BAPTISTAE

Canon secundum traditionem Mess. gr. 136 = Mf

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραὼ*
καὶ τὴν δύναμιν αὐτοῦ
ἔρριψεν εἰς θάλασσαν
ὁ κραταιὸς ἐν πολέμοις·
5 *ᾄσωμεν αὐτῷ ᾆσμα καινόν,*
ὅτι ἐνδόξως δεδόξασται.

f. 179 1-6 ‖ Σήμερον ἡ φωνὴ
.... = W 65-70

7-12 Ἄισωμεν οἱ πιστοὶ
.... = W 71-76

Κῆρυξ καὶ βαπτιστὴς
καὶ προφήτης τοῦ θεοῦ,
15 πρόδρομος τῆς χάριτος,
φωνὴ τοῦ λόγου καὶ λύχνος
ὤφθης, Ἰωάννη ἔνδοξε,
διὸ μνημόνευε πάντων ἡμῶν.

θεοτ. Ἄναρχον ⟨τὸν⟩ υἱὸν
20 συλλαβοῦσα ἐν γαστρὶ
ἔτεκες, ἀμίαντε,
σεσαρκωμένον τὸν λόγον,
μείνασα παρθένος ὥσπερ τὸ πρὶν
μετὰ τὸν τόκον, πανάμωμε.

heirm. α' EE 104, n. 147, Andreae heirm. 2 αὐτῶν EE 19 τὸν metri causa scripsi

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

f. 179ᵛ 25-30 ‖ Ἡ Ἐλισάβετ πρὶν ἐστειρωμένη,
.... = Ca 181-186

Ἡ μὲν σιγὴ τοῦ θείου Ζαχαρίου
σιγὴν τὴν ἐν τῷ γράμματι
γεγενημένην προεκτυποῖ,
τὴν δὲ χάριν ἐξανθοῦσαν,
35 τικτόμενος ὁ πρόδρομος
καρποὺς τῆς μετανοίας δηλοῖ.

37-42 Τὰς μὲν ὁδοὺς εὐθύνας τοῦ κυρίου,
.... = Ca 193-198

[θεοτ.] 43-48 Ἡ Ἐλισάβετ σήμερον σκιρτῶσα,
f. 180 .... = Ca 199-204

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην·
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην·
δόξα
5 *τῇ δυνάμει ⟨σου, κύριε⟩.*

49-53 Ἡ μετάνοια ἤνοικται
.... = W 271-275

54-58 Παρθενία κρατύνεται
.... = W 276-280

[θεοτ.] 59-63 Ἐλισάβετ ἀγάλλεται
.... = W 281-285

heirm. γ' EE 104, n. 147, Andreae vv. 43-48 ut θεοτ. refert Mf heirm. δ' EE 107, n. 150, Andreae heirm. 4-5 δόξα, Κύριε, τῇ δυνάμει σου EE vv. 59-63 ut θεοτ. refert Mf

36 Cfr. Matth. 3,8; Luc. 3,8

ᾠδὴ ε'. *Ζῆλος λήψεται λαὸν ἀπαίδευτον*
τοὺς παρανόμους Ἑβραίους
καὶ πῦρ ἔδεται
f. 180v *τοὺς ὑπεναντίους* || *σου, Χριστέ,*
5 *ὅτι σὲ τὸν ἀναστάντα*
πλάνον ὠνόμασαν.

Γλῶσσαν λύει τοῦ πατρὸς δεθεῖσαν ναῷ
65 ὁ Ἰωάννης ἐκ στείρας
τεχθεὶς σήμερον,
ὥστε τὴν φωνὴν διὰ φωνῆς
τῆς σιγῆς ἐκ παραδόξου
λύσιν κομίσασθαι.

70 Τίκτει σήμερον υἱὸν ἰσάγγελον
ἡ Ἐλισάβετ ἐν γήρει,
Χριστοῦ πρόδρομον
καὶ ἑτοιμαστὴν καὶ βαπτιστὴν
καὶ βοᾷ ἐγκαυχωμένη·
75 « δόξα τῷ κτίστῃ μου ».

Νῦν Ζαχαρίας μυστικῶς εὐφραίνεται
καὶ ἐν χερσὶ τὸ πυξίον
λαβών, γράφει σου,
πρόδρομε, τὸ ὄνομα τρανῶς,
80 « Ἰωάννης », λέγων, « οὗτος
πάντως κληθήσεται ».

θεοτ. Χαῖρε, κλῖμαξ νοητή, θεόνυμφε,
ἡ ἐκ τῶν κάτω πρὸς ἄνω
ἡμᾶς ἄγουσα
85 διὰ τοῦ φυράματος ἡμῶν,
ᾧ προσήλειψεν ὁ κτίστης
f. 181 πάντων || καὶ κύριος.

---

heirm. ε' EE 104, n. 147, Andreae heirm. 3 καὶ νῦν πῦρ ἔδεται Mf 4 σου, Χριστέ, om. EE 5 ἀναστάντα] σταυρωθέντα EE 67 ὥστε scripsi] ὅτε Mf 86 ᾧ] οὗ Mf

---

64 Cfr. Luc. 1,64 76-81 Cfr. Luc. 1,62-63 82 Gen. 28,12

ᾠδὴ ς'. *Ζάλη με λογισμῶν καταλαβοῦσα*

88-93 Σήμερον τῆς ἐρήμου ὁ πολίτης
.... = Ca 431-436

94-99 Σήμερον ἡ ἀξίνη χαλκευθεῖσα
.... = W 433-438

100 Γέγηθεν Ἰορδάνης παραδόξως
καὶ σκιρτᾷ μυούμενος·
ἀκούει γὰρ Ἰωάννην
ἐξ ἀκάρπου τικτόμενον γαστρός,
ἐνύγρως δὲ χορεύει
105 τοῖς ἐν τοῖς κόλποις σκιρτήμασιν.

τριαδ. Ἄναρχον προσκυνήσωμεν τριάδα
ἐν μιᾷ θεότητι,
ἀγέννητον τὸν πατέρα,
f. 181v γεννητὸν τὸν || υἱὸν ἐκ τοῦ πατρός,
110 τὸ ἅγιον δὲ πνεῦμα
ἐκπορευτὸν ὁμοούσιον.

θεοτ. Ἔλυσας τὴν ἀρὰν τῆς πρωτογόνου,
τὴν χαρὰν γὰρ ἔτεκες
ἐκ μήτρας τῆς σῆς, παρθένε,
115 τὸν ἀναλλοίωτον λόγον ἐν σαρκί·
αὐτόν, θεογεννῆτορ,
ὑπὲρ τοῦ κόσμου ἱκέτευε.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν μυστικῶς*

Ἀγαλλιάσθω ὁ πατήρ,
μήτηρ εὐφραίνου,
....

---

heirm. ς' EE 107, n. 150, Andreae 105 τῶν ἐν τοῖς Mf
κάθ. MR V, 350

---

100 Cfr. Is. 35,2

ᾠδὴ ζ'. *[Πῦρ φλέγον ἐν καμίνῳ*
κατέσβεσαν οἱ παῖδες
τῇ δρόσῳ τοῦ πνεύματος
f. 182 *καὶ ‖ ὑμνοῦντες ἔλεγον·*
5 *ὁ τῶν πατέρων ⟨. .*
. . . .⟩]

Χορεύει ἐκκλησία
ἡ ποτὲ στεῖρα καὶ βοᾷ·
120 « πέπτωκεν ἡ ἔπαρσις
καὶ τὸ θράσος πέπαυται
τῇ τοῦ προδρόμου γεννήσει
τῶν πρὶν ἐν ἐμοὶ
ἐμφωλευόντων ἐχθρῶν ».

125 Προῆλθεν ἐκ τῆς στείρας
ὥσπερ ἐξ Ἄννης Σαμουήλ,
ἀλλ' ἐκεῖνος νήπιος
τῷ ναῷ προσήνεκται
καὶ σὺ ὡς μείζων προφήτης
130 ἐρήμους οἰκεῖς
καὶ τὰς πόλεις δᾳδουχεῖς.

ᾠδὴ η'. *Τὰ σύμπαντα, δέσποτα,*
τῇ σῇ σοφίᾳ συνεστήσω,
γῆς δὲ πάλιν ἥδρασας
ὡς οἶδας τὸν πυθμένα
5 *τὴν βάσιν πηξάμενος*
ἐφ' ὑδάτων ἀπείρων·
διὸ πάντες βοῶμεν

---

heirm. ζ' ille videtur ed. in EE 110, n. 153, Theodoro Studitae tributus, sed metro tropariorum melius aptatur heirm. qui simili modo inc. *Πῦρ φλέγον ἐν καμίνῳ*, EE 105, n. 147, Andreae

heirm. η' EE 105, n. 147, Andreae heirm.3 ἔδρασας Mf 5 τῇ βάσει EE 6 ἐπὶ ὑδάτων EE

125-128 I Regn. 1,19-28 129 Cfr. Matth. 11,11; Luc. 7,28
130 Cfr. Luc. 1,80

ἀναμέλποντες·
« εὐλογεῖτε τὰ ἔργα κυρίου
10 *ἀπαύστως τὸν κύριον ».*

132-141 Ἐγνώρισας, πρόδρομε,
f. 182ᵛ .... = Ca 587-596

Τὰ πέρατα σήμερον
τῆς οἰκουμένης ἑορτάζει,
χαίρουσιν οἱ ἄγγελοι
145 καὶ πνεύματα δικαίων,
οἱ ζῶντες εὐφραίνονται,
οἱ θανόντες δὲ πλέον,
Ἰωάννου τεχθέντος,
ἐκδεχόμενοι
150 δι' αὐτοῦ κηρυχθῆναι τὸν πάντων
σωτῆρα καὶ κύριον.

τριαδ. Τρισήλιον ἅπαντες
καὶ τρισυπόστατον μονάδα
ἄναρχον ἀΐδιον
155 ἐν πίστει προσκυνοῦμεν,
πατέρα δοξάζοντες,
τὸν υἱὸν ἀνυμνοῦντες
καὶ τὸ ἅγιον πνεῦμα
τὸ παράκλητον,
160 ἐν μονάδι τριάδα τιμῶντες
ἀεὶ συναστράπτουσαν.

f. 183 θεοτ. ‖ Παρθένον σε ἅπαντες,
ναὸν καὶ πύλην καὶ νεφέλην,
βάτον ἀκατάφλεκτον
165 καὶ στάμνον τὴν τοῦ μάννα
καὶ ῥάβδον βλαστήσασαν,
κιβωτὸν καὶ λυχνίαν

---

147 θανέντες Mf

---

163 Ez. 44,2; Is. 19,1 164 Ex. 3,2 165 Ex. 16,33-34
166 Num. 17,23 167 Ex. 25,10; Ex. 25,31

καὶ τὰς πλάκας τοῦ νόμου,
ὄρος ἅγιον
170 καὶ κατάσκιον ὄντως, Μαρία,
προφῆται ἐκήρυξαν.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

172-177 Ἐν σοὶ τὸ μέγα τοῦτο
. . . . = Ca 730-735

178-183 Ἀκουέτωσαν στεῖραι
. . . . = Ca 742-747

184-189 Δόξα τῷ δεδωκότι
f. 183v . . . . = Ca 760-765

θεοτ. 190-195 Ἐν σοὶ κατασκηνώσας
. . . . = Bl 454-459

heirm. θ' EE 106, n. 149, Andreae.

168 Ex. 31,18 169-170 Hab. 3,3

IN TRANSLATIONEM RELIQUIARUM SS. CYRI ET JOANNIS

Synaxarium 775-777: Ἡ εὕρεσις τῶν τιμίων λειψάνων τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Κύρου καὶ Ἰωάννου. Οὗτοι οἱ μάρτυρες καὶ θαυματουργοὶ ἰατροὶ ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως. Ὧν ὁ μὲν Κῦρος ἐκ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, ὁ δὲ Ἰωάννης ἐξ Ἐδέσης τῆς πόλεως. Οὗτοι ἑνωθέντες διὰ τὸ ὁμότροπον περιερχόμενοι καὶ ἰατρεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ πολλοὺς ἐπαλείφοντες πρὸς τὸ μαρτύριον, δῆλοι τῷ κατὰ τὸν τόπον ἄρχοντι γεγόνασιν· ὃς τούτους παραστησάμενος βασάνοις παντοίαις ὑπέβαλεν· εἶθ' οὕτως ξίφει τὰς κεφαλὰς αὐτῶν ἔτεμε. Τὰ δὲ τίμια τούτων λείψανα ὑπὸ τῶν πιστῶν τότε ἀποκρυβέντα διὰ τὴν ἐπικρατοῦσαν ἀσέβειαν, ὕστερον ἐπὶ τῆς βασιλείας Ἀρκαδίου, πατριαρχοῦντος ἐν Ἀλεξανδρείᾳ Θεοφίλου, εὑρέθησαν πάθη παντοῖα θεραπεύοντα.....

Synaxarium *(Selecta)* 775-778: μνήμη τῆς καταθέσεως τῶν λειψάνων τῶν ἁγίων μαρτύρων Κύρου καὶ Ἰωάννου. Τὰ περὶ τῶν ἁγίων τούτων τρανότερον ἐν τῇ ἡμέρᾳ τῆς κοιμήσεως αὐτῶν διείληπται ἤγουν τῇ τριακοστῇ πρώτῃ τοῦ ἰανουαρίου μηνός· νῦν δὲ περὶ τῶν τιμίων λειψάνων αὐτῶν ῥητέον, ὅτι διὰ τὴν ἐπικρατοῦσαν τῷ τότε ἀσέβειαν ἀποτμηθέντων τῶν ἁγίων, τὰ σώματα αὐτῶν ὑπὸ τῶν πιστῶν ὡς εἶχον τηνικαῦτα σπουδῆς καὶ γνώμης ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Μάρκου ἐτέθη, ὕστερον δὲ ἐπὶ τῆς βασιλείας Θεοδοσίου, πατριάρχου τῆς Ἀλεξανδρέων Θεοφίλου τυγχάνοντος καὶ τὴν ἐν Κανώβῳ κώμην, Μανουθὲ καλουμένην, δαιμόνων οὖσαν κατοικητήριον, βουληθέντος ἐκκαθᾶραι καὶ τῆς ἐξ αὐτῶν λύμης ἀπαλλάξαι, καὶ τῆς τελευτῆς κωλυσάσης, ὁ μετ' αὐτὸν Κύριλλος τὸ παρ' ἐκείνου μελετηθὲν εἰς ἔργον ἐξήγαγεν, ἀγγέλου κατ' ὄψιν ἐπιφανέντος αὐτῷ καὶ τὰ λείψανα τῶν ἁγίων τῇ κώμῃ ταύτῃ ἐπισκήψαντος ἀποθησαυρίσαι· καὶ κατὰ τὴν ὄψιν ἐν αὐτῇ μετετέθησαν τῇ κώμῃ λαμπρῶς, τοῦ ἰουνίου τότε εἰκάδα πρὸς τῇ ὀγδόῃ ἄγοντος· καὶ νῦν εἰσιν ἐκεῖσε κατατεθειμένα εἰς ἀσφάλειαν τῶν ἐνοικούντων καὶ δόξαν Θεοῦ.

Crypt. Δ.α. XXIII = Cn, ff. 62-63
Paris. gr. 245 = Px, pp. 123-126
Sinait. gr. 630 = Σδ, ff. 46v-47v

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Οἱ ἐκ θεοῦ τοῦ φιλανθρώπου τὴν χάριν
εἰληφότες ἅγιοι τῶν ἰαμάτων,
τὰ τῶν νοσούντων ἀπελαύνετε πάθη
πρὸς ὑμνῳδίαν καὶ αἶνον τοῦ σωτῆρος.

5 Χειρουργήσαντες τὴν σηπεδόνα τῆς πλάνης
μυστικῶς οἱ ἅγιοι πίστεως λόγῳ,
ἰατροὶ ἡμῶν ἀνεδείχθησαν
δι' ἐνεργείας ⟨τοῦ⟩ πνεύματος τοῦ θείου.

Τὰς ἀοράτους προσβολὰς τῶν δαιμόνων
10 ὑμεῖς ἐδιώξατε τῇ μεταθέσει
τῶν λειψάνων ὑμῶν, πανεύφημοι,
⟨καὶ⟩ τοὺς ἀνθρώπους ἐρρύσασθε τῆς πλάνης.

---

tit. Ὁ om. Cn   ποίημα γερμανοῦ add. Px   Γερμανοῦ sigla in margine praebet Σδ
heirm. EE 78, n. 110, Germani, integrum referunt Px Σδ   1 Οἱ om. Cn   3 τῶν νοσούντων ἀπελαύνετε τὰ πάθη Px   τὰ om. Σδ   8 δι' ἐνεργείας usque ad θείου] τῶν δοξαζόντων χριστὸν εἰς τοὺς αἰῶνας Px Σδ   τοῦ add. metri causa
9-12 pro hoc aliud troparium praebent Px Σδ:
Κατασκάψαντες τῆς ἀσεβείας τοὺς λάκκους,
10 μάρτυρες ἀοίδιμοι τῆς ἀληθείας,
κεκτημένοι πηγὴν ζωῆς τὸν Χριστόν,
τὰς τῶν παθῶν ἀναβλύζετε ἰάσεις.
12 καὶ propter metrum et sensum add.

9-12 PG 87,3696 B-C: Οὔπω δὲ σχεδὸν τῷ τόπῳ ἐπέστησαν οἱ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται Κῦρος καὶ Ἰωάννης, καὶ κατὰ τοῦ ἐκεῖσε ἐμφωλευόντος πονηροτάτου δαίμονος ἀνεγείρειν ἤρξαντο τρόπαια· πολλοὺς γὰρ δαιμονιῶντας καὶ ἀσθενείαις ἄλλαις κεκρατημένους ἐν τῷ τὴν κατάθεσιν τῶν ἁγίων λειψάνων γίνεσθαι ἐθεράπευσαν· καὶ αὐτοὺς δὲ τοὺς ἱερεῖς τοῦ ὀλεθρίου δαίμονος, τῆς ψυχικῆς πλάνης ἰάσαντο· ὥστε πάραυτα προσελθεῖν αὐτοὺς τῷ ἁγίῳ ἀρχιεπισκόπῳ Κυρίλλῳ, καὶ τῷ λουτρῷ τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος καθαγνισθῆναι· καὶ αὐτὸ δὲ τὸ ἱερὸν μᾶλλον δὲ μιαρὸν τοῦ ὀλεθρίου δαίμονος σὺν τῷ ἐν αὐτῷ ἀγάλματι καὶ τῷ βωμῷ ἀφανὲς κατασταθῆναι.

θεοτ. Τὴν μητέρα σου, Χριστέ, θεοτόκον
οἱ πιστοὶ δοξάζομεν ἀκαταπαύστως,
15 ὡς πρεσβεύουσαν ὑπὲρ πάντων ἡμῶν
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Τοῦ παλαιοῦ ἀνθρώπου τῆς ἁμαρτίας
εὐσεβῶς τὴν γύμνωσιν στολισθέντες,
τῷ μαρτυρίῳ οἱ ἅγιοι ἐκοσμήθησαν.

20 Τὸν θυρεὸν τῆς πίστεως, ἀθλοφόροι,
ἐν καιρῷ φορέσαντες τῶν ἀγώνων,
τὰς παρατάξεις καθείλετε τῶν ἀθέων ἐχθρῶν.

Τὸ τῆς πλάνης τόξον τῇ καρτερίᾳ
ἀσθενὲς ἐδείξατε, ἀθλοφόροι,
25 περιζωσάμενοι δύναμιν τὴν τοῦ πνεύματος.

θεοτ. * Ἡ τὸν θεὸν ἐν μήτρᾳ σου δεξαμένη
καὶ τεκοῦσα τοῦτον σεσαρκωμένον,
θεοτόκε, ἱκέτευε τοῦ σωθῆναι ἡμᾶς.

13-16 θεοτ. in hoc volumine ed. p. 140
heirm. γ' EE 78, n. 110, Germani, integrum reperimus in Px Σδ   post v. 19 hoc troparium add. Px Σδ:
Ἰατρικῶς, πανεύφημοι ἀθλοφόροι,
καθαρσίοις λόγοις τῆς εὐσεβείας
τὴν λοιμώδη ἐλύσατε τῶν ἀθέων φθοράν.
20 Τῶ θυραιῶ Cn   22 ἀθέων] ἀνόμων Px Σδ   23-25 troparium om. Px Σδ
26-28 θεοτ. MR VI, 113, cfr. etiam p. 141   26 Ἡ om. Σδ
post odem γ' κάθ. referunt Px Σδ:
Κάθισμα. Ἦχος γ'. *Τὸ ἔμψυχον τῆς καρτερίας ὑμῶν*
Στερέωμα τῆς ἀληθείας Χριστοῦ
ἐδείχθητε, θεῖοι θεράποντες,
ὥσπερ ἄστρα (ἄστροις cdd.) τοῖς ἐν γῇ
τὰ θαύματα, ἅγιοι,
5 ἐν τῇ νυκτὶ
τῶν νοσούντων αὐγάζοντες,
τοῖς ἐν τῷ σκότει τὸ φῶς καταλάμπετε,
φωστῆρες ἔνδοξοι·
ἀλλὰ πρεσβεύσατε τῷ κυρίῳ
10 (καὶ add. Σδ) ταῖς ψυχαῖς ἡμῶν δοῦναι τὴν ἄφεσιν,
ὡς ἔχοντες ἐν τούτῳ παρρησίαν.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἐνδυσάμενοι
30 τὴν πανοπλίαν τὴν τοῦ σωτῆρος,
ἀθλοφόροι, ἐκομίσασθε
στέφανον ἀφθαρσίας.

Τὰ παράδοξα
τῶν ἰαμάτων ὑμῶν κηρύττει
35 ἡ θεάρεστος τοῦ βίου ὑμῶν
συγγραφή, ἀθλοφόροι.

62ᵛ θεοτ. * ‖ Μήτηρ ἄχραντε,
εὐλογημένη ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
40 ἀπὸ πάσης ἀνάγκης.

ᾠδὴ ε'. *Ὀρθρίζοντες*
ἀνυμνοῦμέν σε, λόγε,

Ὡς νέκρωσιν
ζωτικὴν τοὺς ἁγίους
τῶν νοσημάτων ἀληθῶς

---

heirm. δ' EE 78, n. 110 Germani, integrum praebent nonnullis variis lectionibus Px Σδ 30 τὴν τοῦ σωτῆρος] τοῦ σωτηρίου Px Σδ 32 στέφανον ἀφθαρσίας] οὐρανῶν βασιλείαν Px Σδ pro vv. 33-36 haec duo troparia invenimus in Px Σδ:

Μαρτυρήσαντες
ὑπὲρ τριάδος μέχρι θανάτου,
τὴν δυάδα ἀνυμνήσωμεν
τῶν ἁγίων μαρτύρων.
5 Καλλιβλέφαροι
τῆς ἐκκλησίας οἱ ἀθλοφόροι
ἀνεδείχθησαν ἐκ πίστεως
ὀφθαλμοὶ θεοπτίας.

37-40 θεοτ. MR V, 11

heirm. ε' EE 78, n. 110, Germani, integrum nonnullis variis lectionibus legimus in Px Σδ

ἀνυμνήσωμεν, πιστοί,
45 αἰτούμενοι δι' αὐτῶν
ταῖς ψυχαῖς ἡμῶν
ἀπαλλαγὴν τῶν παθῶν.

Ἡ δρόσος σου
ἀληθῶς τοῖς ἁγίοις
50 ἴαμα γέγονεν, Χριστέ,
ἐνισχύουσα αὐτοὺς
ἐν τῇ πείρᾳ τῶν δεινῶν
καὶ μεγαλύνουσα
θεραπείαις τῶν παθῶν.

θεοτ. 55 Θεός ἐστιν
ὁ τεχθεὶς ἐκ παρθένου
εἰς ἀναγέννησιν ἡμῶν
καὶ ἐφώτισεν ἡμᾶς
εἰς ἐπίγνωσιν αὐτοῦ
60 καὶ δοξάζομεν
τὴν αὐτοῦ εὐσπλαγχνίαν.

ᾠδὴ ϛ'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Οἱ ἐν πελάγει νοσημάτων
καταντήσαντες, σωτὴρ ἡμῶν,
τῶν ἀθλοφόρων σου σαφῶς
65 τῇ πρεσβείᾳ κυβερνώμενοι,
σωζόμεθα, βοῶντες·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

Τὰς τῶν ἀθέων τρικυμίας
70 ἐν τῷ πνεύματι περάσαντες,

---

45 δι' αὐτῶν om. Cn 47 τῶν παθῶν] διὰ σοῦ Cn 48 Ἡ] Ὁ Cn 50 Χριστὲ om. Cn 55-61 idem θεοτ. in oda ϛ' canonis in S. Asyncritum: cfr. p. 142 55 Θεὸς] Χριστὸς Px

heirm. ϛ' EE 78, n. 110, Germani, integrum praebent Px Σδ vv. 67-68 om. Cn 68 post ὡς ἔ- cetera om. Px

τὰς καταιγίδας τῶν παθῶν
διαλύουσιν οἱ ἅγιοι
τῶν πίστει ἐκβοώντων·
« σῶσον, σωτήρ,
75 ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

θεοτ. Τὸν εἰς τὸ πλήρωμα τοῦ χρόνου
γεννηθέντα ἐκ παρθένου μητρὸς
καὶ ἐκ δουλείας καὶ φθορᾶς
λυτρωσάμενον τὸ γένος ἡμῶν
80 ὑμνοῦμεν καὶ βοῶμεν:
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Τοῦ πνεύματος τῇ δρόσῳ
τὴν καρδίαν πυρούμενοι,
85 τῶν βασάνων τῇ φλογὶ ἐγκαρτερήσαντες,
οἱ ἀθλοφόροι ἐβόων·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Θανάτῳ ζωηφόρῳ
90 τὴν ζωὴν διανύσαντας,
ζωτικοῖς καὶ μετὰ θάνατον χαρίσμασι
τοὺς ἀθλοφόρους κοσμήσας,
εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

---

vv. 74-75 om. Cn 75 τὸν προφήτην om. Σδ 76 τὸ om. Px χρόνου] νόμου Px 80 καὶ βοῶμεν] ἐκβοῶμεν Σδ vv. 81-82 om. Cn 82 τὸν προφήτην om. Σδ

post oden ς' add. Σδ κοντάκ. Ἐκ τῆς θείας χάριτος et οἶκ. Ἑαυτοὺς τῷ θεῷ MR V, 381

heirm. ζ' EE 79, n. 111, Germani, integrum referunt Px Σδ 85 τῇ φλογὶ] τὰ δεινὰ Px Σδ 86 οἱ ἀθλ. ἐβόων] καὶ ὑμνοῦντες ἐβόουν Cn 87-88 post εὐλογητὸς Cn, post εἶ Σδ cetera om. 90 ζωὴν] ὁδὸν Px Σδ διανύσαντες (διανοίσαντες Σδ) cdd. 93-94 post εὐλογητὸς Cn, post εἶ Σδ, cetera om. 94 v. om. Px

95 Παρθένον τὴν καρδίαν
ἐκ τῆς πλάνης φυλάξαντες
f. 63 ‖ καὶ παρθένους ἀνδρειοῦντες ἐν τῇ πίστει Χριστοῦ,
οἱ ἀθλοφόροι ἐβόων·
« εὐλογητὸς εἶ, ὁ θεὸς
100 ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ἐτέχθης ἐκ παρθένου
ὡς ηὐδόκησας, κύριε,
καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν·
διὰ τοῦτο βοῶμεν·
105 « εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Τὸν προσκυνούμενον*

Τὸν δωρησάμενον
τοῖς ἀθλοφόροις τὴν χάριν
τῶν ἰαμάτων ἐξ ὕψους
110 ἱερεῖς ὑμνεῖτε,

---

98 ἐβόουν Cn 99-100 post εὐλογητὸς Cn Σδ, post εἶ cetera om. Px 101-106 θεοτ. MR V, 12 102 εὐδόκησας Px Σδ vv. 105-106 om. Cn 106 v. om. Σδ

heirm. η' EE 79, n. 112, Germani, integrum praebent Px Σδ 110-112 post ἱερεῖς cetera om. Cn Σδ post ὑμνεῖτε Px

---

97 PG 87,3681 C-D: τοῦ διωγμοῦ δὲ σφοδρότερον ἐπιφλύζοντος, καὶ Κασιανοῦ τῆς ἐν Κανώπῳ Ἑλληνικῆς ἱερατεύοντος ματαιότητος, παρθένους τρεῖς τὸν τόπον οἰκούσας, Χριστὸν δὲ μνηστευσαμένας, οἱ πρὸς τὴν ἄγραν ταύτην ἀφωρισμένοι συνέλαβον, καὶ ταύτας σὺν μητρὶ Συριανῷ προσφέρουσιν τῷ τῆς πόλεως ἄρχοντι· τότε τὰ περὶ αὐτῶν ἀκηκοὼς Κῦρος ὁ ἅγιος καὶ φόβῳ συσχεθεὶς ὡς φιλόχριστος, μὴ τὰς βασάνους ὡς μικρὰ τὰ μειράκια δειλιάσαντα, τὸν Χριστὸν ἐξομόσωνται καὶ τὴν πίστιν ἀρνήσωνται διὰ τὸ τῆς ἡλικίας λίαν βραχύτατον· (καὶ γὰρ Θεοκτίστη πέντε καὶ δέκα ὡς πρεσβῦτις αὐτῶν προσετύγχανεν· ἡ δὲ ταύτης δευτέρα Θεοδότη ἔτος διήνυσεν τρισκαιδέκατον· Εὐδοξία δὲ ἡ τούτων ὑστάτη ἔτος ἦγεν ἑνδέκατον· Ἀθανασία δὲ τούτων ἡ μήτηρ φερωνύμως ἐλέγετο· τῆς γὰρ ὄντως ἀθανασίας κληρονόμος ἐγένετο σὺν τοῖς αὐτῆς ποθεινοτάτοις γεννήμασιν)· δι' ἅς, εἰπόντες ὡς ἔφθημεν, δειλιάσας Κῦρος ἅγιος σὺν Ἰωάννῃ τὴν πόλιν εἰσδύεται, καὶ τὰς λεχθείσας ἁγίας πρὸς τοὺς ἀγῶνας ἀλείφων ὑπὲρ φύσιν διήγειρεν, καὶ τῶν βασάνων κατατολμᾶν, καὶ μὴ δειλιᾶν διὰ τὴν Χριστοῦ τοῦ μνηστῆρος βασιλείαν ἔπειθεν, τοὺς τῆς ἁγνείας αὐταῖς στεφάνους ὑπέγραφεν, καὶ χαρᾶς λῆξιν καὶ εὐφροσύνην τέλος μὴ ἔχουσαν.

λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Τὸν καταργήσαντα
τῇ προπομπῇ τῶν ἁγίων
115 τὴν τῶν δαιμόνων ἀπάτην
ἱερεῖς ὑμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἰασάμενον
120 τῶν ἀνιάτων τὰς νόσους
τῇ τῶν ἁγίων πρεσβείᾳ
ἱερεῖς ὑμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. 125 Τὸν ἐκ παρθένου
δι' ἡμᾶς σαρκωθέντα
εἰς σωτηρίαν τοῦ κόσμου
ἱερεῖς ὑμνεῖτε,
λαὸς ὑπερυψοῦτε
130 εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Σήμερον, πιστοί, συνελθόντες,
εὐφημήσωμεν ὕμνοις

113-118 pro hoc alterum troparium substituunt Px Σδ:
Τὸν ἀναδείξαντα
τῶν ἀθλοφόρων τὴν μνήμην
115 εἰς φωτισμὸν τῶν ἀνθρώπων,
ἱερεῖς ὑμνεῖτε (ex ὑμνεῖτε om. Σδ, ex λαὸς Px),
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.
116-118 post ἱερεῖς cetera om. Cn 119-124 troparium om. Px 120 τοὺς ἀνιάτως νοσοῦντας Σδ 121 τῇ τῶν ἁγίων ἀββακύρων πρεσβεία Cn 122-124 post ἱερεῖς cetera om. Cn vv. 123-124 om. Σδ 128-130 post ἱερεῖς cetera om. Cn vv. 129-130 om. Σδ post λαὸς cetera om. Px.
heirm. θ' EE 79, n. 111, Germani, integrum legimus in Px

113-115 Cfr. notas ad vv. 9-12.

τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ
καὶ ἰατῆρας,
135 ὡς καρποὺς τῷ Χριστῷ
μαρτυρικοὺς προσενέγκαντες.

Σὲ τὸν δωρησάμενον χάριν
τοῖς ἁγίοις ἐξ ὕψους
ἰατρεύειν τὰ πάθη
140 τῶν ἀσθενούντων,
ὡς θεὸν καὶ σωτῆρα
ἡμῶν μεγαλύνομεν.

Ἔνδοξοι Χριστοῦ ἀθλοφόροι,
ἰατροὶ τῶν νοσούντων,
145 ἀπελαύνετε ἀεὶ
τὰς ἀσθενείας
τῶν ἐν πίστει Χριστὸν
τὸν θεὸν μεγαλυνόντων ἀεί.

θεοτ. * Χαῖρε, τῶν εἰς σὲ προστρεχόντων
150 τὸ ἀπόρθητον τεῖχος,
χαῖρε, εὔδιε λιμὴν
τῶν σε σεβόντων,
χαῖρε, μήτηρ Χριστοῦ
τοῦ θεοῦ, ἀειπάρθενε.

---

136 προσενέγκαντας Px Σδ 147-148 τῶν ἐν πίστει ὑμνούντων / χριστὸν τὸν θεὸν ἡμῶν Px Σδ post v. 148 add. Σδ troparium quarto versu carens:
Μνήμην ἀθλοφόρων τελοῦντες,
δεῦτε πάντες συμφώνως
τὸν δοξάσαντα αὐτοὺς
⟨. . . . .⟩
5 ὡς θεὸν καὶ σωτῆρα
ἡμῶν μεγαλύνομεν.
149-154 θεοτ. Pent^{II} λζ'

καὶ θερμὸς ἐν χάριτι,
Χριστὸν καθικέτευε
25 σωθῆναι τὰς ψυχὰς ἡμῶν.

* Πάντες ἑορτάσωμεν θεοφρόνως
Πέτρου καὶ Παύλου, τῶν σοφῶν
κηρύκων τῆς χάριτος,
τὴν μνήμην τὴν ἔνδοξον·
30 εὐφραίνει γὰρ τὰ σύμπαντα.

* Πέτρος, ἡ στερρότης τῆς ἐκκλησίας,
Παῦλος, ἡ ἄσειστος κρηπὶς
τῆς ὀρθοδοξίας,
σοφίαν ψευδώνυμον
35 ποικίλως ἐτροπώσαντο.

* Ἔχοντες τὸ πνεῦμα τῆς ἀληθείας
Πέτρος καὶ Παῦλος, οἱ σοφοὶ
τῆς χάριτος κήρυκες,
παράδοξα θαύματα
40 ἐν κόσμῳ κατειργάσαντο.

Ἀσφάλεια πίστεως ἀνεδείχθη
τῶν μαθητῶν ἡ ξυνωρίς,
ὁ Πέτρος, καὶ Παῦλος σαφῶς·
εὐχαῖς αὐτῶν, κύριε,
45 εἰρήνευσον τὸν κόσμον σου.

τριαδ. Τριὰς ὑπερούσιε, παντοκράτορ,
ἄναρχε πάτερ καὶ υἱὲ
καὶ πνεῦμα τὸ ἅγιον,
εὐχαῖς τῶν ἁγίων σου
50 εἰρήνευσον τὸν κόσμον σου.

θεοτ. Χαῖρε, ἡ τὸν ἄναρχον ἀπειράνδρως
ἐγκυμονήσασα υἱὸν

26-40 PHG, C 29 ἔνδοξον] πανίερον PHG 30 εὐφραίνη καὶ τὰ σύμπαντα PHG 31 τῆς om. PHG 34 σοφίαν τὴν ψευδώνυμον PHG 39 θαυμάσια PHG 46 παντοκράτορ] σῶσον ἡμᾶς A 49-50 τριὰς ἡ ὁμοούσιος / ἐλέησον τὸν κόσμον σου A

ἀφράστως, παρθένε ἁγνή,
καὶ γάλα ποτίσασα
55 τὸν τρέφοντα τὰ σύμπαντα.

ᾠδὴ β'. *Δῶτε, λαοί, μεγαλωσύνην*

Δόξα σοι, δόξα σοι
f. 222 τῷ ἐπὶ ‖ γῆς δοξάσαντι
τῷ ἐν ὑψίστοις τὴν διττὴν
κρηπῖδα τῶν ἀποστόλων.

60 Πέτρε, ἡ ἄσειστος βάσις
τῆς ἐκκλησίας, πρέσβευε
τοῦ στηριχθῆναι καὶ ἡμᾶς
ἐπὶ τὴν ἄσειστον πέτραν.

Παῦλος, ἡ πάντων ⟨κορω⟩νὶς
65 καὶ συγγραφεὺς οὐράνιος,
τῶν μαθητῶν ὁ προβολεύς,
Χριστοῦ γεγένηται στόμα.

Τὰ ἀκροθίνια Χριστοῦ,
τῶν μαθητῶν οἱ πρόεδροι,
70 Πέτρος καὶ Παῦλος ἐν Χριστῷ
τὴν οἰκουμένην φρουροῦσιν.

Πέτρε, ἀπόστολε Χριστοῦ,
μὴ διαλίπῃς πάντοτε
ὑπὲρ ἡμῶν τῶν σε πιστῶς
75 ἀνευφημούντων πρεσβεύειν.

---

oden β' om. Ca A

heirm. β' simili initio invenimus in EE 95, n. 134, Germani, qui autem metro tropariorum aegre aptatur 64 ante litteras -νὶς Vb minime legitur: κορωνὶς complevi 67 γεγέννηται Vb

---

63 Cfr. Matth. 7,24-25; Ps. 60,2-3

IN SANCTOS PETRUM ET PAULUM APOSTOLOS

Synaxarium 777-779: Ἄθλησις τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. Τούτοις τίνα ἐγκωμίων ὑπόθεσιν μείζονα ἄν τις ἐπινοήσειε παρὰ τὴν τοῦ Κυρίου μαρτυρίαν καὶ ἀνακήρυξιν, τὸν μὲν μακαρίσαντος καὶ πέτραν καλέσαντος, ἐφ' ἧς ἱδρῦσαι τὴν ἐκκλησίαν φησί, τὸν δὲ σκεῦος ἐκλογῆς ἔσεσθαι προειπόντος, τοῦ βαστάσαι τὸ ἑαυτοῦ ὄνομα ἐνώπιον τυράννων καὶ βασιλέων. Ὑπῆρχε δὲ ὁ μὲν ἅγιος Πέτρος ἀδελφὸς Ἀνδρέου τοῦ πρωτοκλήτου, ἐκ πόλεως ἀσήμου καὶ εὐτελοῦς τῆς Βηθσαϊδᾶ, υἱὸς Ἰωνᾶ ἐκ φυλῆς Συμεών, ἐπὶ Ὑρκανοῦ ἱερέως τῶν Ἰουδαίων, πενίᾳ συζῶν ἐσχάτῃ καὶ ταῖς ἰδίαις χερσὶ τὸ ζῆν ποριζόμενος. Αὐτοῦ δὲ τελευτήσαντος, ὁ μὲν Σίμων μισθωσάμενος ἑαυτὸν ἔγημε τὴν θυγατέρα Ἀριστοβούλου, ἀδελφοῦ Βαρνάβα τοῦ ἀποστόλου, καὶ ἀπέτεκε παῖδας· ὁ δὲ Ἀνδρέας τῇ ἁγνείᾳ ἑαυτὸν ἐπέδωκε. Κατὰ δὲ τὸν καιρὸν ἐν ᾧ ἐφρουρεῖτο ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ, ὁ Ἰησοῦς πρὸς τὴν λίμνην Γενησαρὲτ ἀφικόμενος καὶ εὑρὼν Ἀνδρέαν καὶ Πέτρον καταρτίζοντας τὰ ἑαυτῶν δίκτυα, ἐκάλεσεν αὐτοὺς καὶ εὐθέως ἠκολούθησαν αὐτῷ· καὶ λοιπὸν ὁ Πέτρος κηρύξας τὸ εὐαγγέλιον πρότερον ἐν Ἰουδαίᾳ καὶ Ἀντιοχείᾳ, ἔπειτα καὶ ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Καππαδοκίᾳ, Ἀσίᾳ τε καὶ Βιθυνίᾳ, κατῆλθε μέχρι Ῥώμης αὐτῆς· καὶ διὰ τὸ παρευδοκιμῆσαι αὐτὸν ἐν τοῖς θαύμασι τὸν Σίμωνα μάγον, αὐτόθι Νέρωνος ὑπάρχοντος, σταυρωθεὶς κατὰ κεφαλῆς, ὡς αὐτὸς ἐξῃτήσατο, οὕτως ἐτελειώθη . . . Ὁ δὲ ἅγιος Παῦλος Ἑβραῖος μὲν ἦν καὶ αὐτὸς τὸ γένος, φυλῆς Βενιαμίν, Φαρισαῖος τὴν αἵρεσιν, μαθητευθεὶς ὑπὸ Γαμαλιὴλ καὶ εἰς ἄκρον τὸν Μωσέως πεπαιδευμένος νόμον, τὸν τῆς Κιλικίας ὀφθαλμὸν οἰκῶν τὴν Ταρσόν. Ὃς καὶ διάπυρος ἐραστὴς γενόμενος τοῦ νόμου, ἐπόρθει τὴν τοῦ Θεοῦ ἐκκλησίαν· τῇ αὐτοῦ γὰρ εὐδοκίᾳ καὶ προθέσει ἀναιρεῖται λίθοις Στέφανος ὁ πρωτομάρτυς. Ἐπιγνωσθεὶς δὲ παρὰ τοῦ Θεοῦ κατὰ τὴν ὁδὸν μεσούσης ἡμέρας καὶ πηρωθεὶς τὰς ὄψεις, φωνῆς ἄνωθεν θείας αὐτῷ ἐνεχθείσης, πέμπεται πρὸς Ἀνανίαν ἀρχαῖον μαθητὴν οἰκοῦντα τὴν Δαμασκόν· ὃς κατηχήσας καὶ διδάξας αὐτὸν ἐβάπτισεν. Ἐπεὶ οὖν σκεῦος ἐκλογῆς ἐγένετο, καθάπερ ὑπόπτερός τις πᾶσαν τὴν οἰκουμένην ἐπιδραμὼν ἐσαγήνευσε καὶ ἐν Ῥώμῃ καταντήσας καὶ διδάξας πολλούς, ἐκεῖσε τὸν βίον κατέλυσε, χρόνοις ὕστερον τὸν αὐχένα τμηθείς. Ἐκ δὲ τῆς πληγῆς ἀπορρεῦσαί φασιν αἷμα σὺν γάλακτι· εἰ δὲ καὶ ὕστερον ἐτελειώθη ὁ μακάριος Παῦλος τῷ χρόνῳ, ἀλλ' ἐν ἑνὶ τόπῳ ἐτέθη αὐτῶν τὰ λείψανα. . . . . .

Vat. gr. 2069 = Vb, ff. 221v-224v
Crypt. Δ.α. XXXI = Ca, ff. 189-192v
Matrit. gr. 4694 = A, ff. 66v-68v

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄισομαί σοι, κύριε ὁ θεός μου,*

Ἄισομαί σοι, κύριε ὁ θεός μου,
ὅτι ἀνέδειξας ἡμῖν
πύργους τῆς ἐκκλησίας σου,
τὰ πάντων ἀκροθίνια,
5 Πέτρον καὶ Παῦλον σήμερον.

Στῦλοι ἀνεδείχθητε τῆς σοφίας
καὶ θεολόγοι ἀκλινεῖς,
Πέτρε καὶ Παῦλε, σύμψυχοι,
ἐν οἷς ἀνοικοδόμησε
10 Χριστὸς τὴν ἐκκλησίαν αὐτοῦ.

Πέτρα ἡ ἀκρότομος τῶν δογμάτων,
Πέτρος, ἡ ἄσειστος κρηπίς,
Χριστὸν τρὶς ὡμολόγησεν,
τὸ τρίτον τῆς ἀρνήσεως
15 ἐντεῦθεν ἰασάμενος.

Πέτρος, ὁ θερμότατος ὑπὲρ πάντας,
Παῦλος, ὁ τρίτον οὐρανὸν
ὑπερβὰς θείῳ πνεύματι,
τὰς βάσεις κατεστήριξαν,
20 Χριστέ, τῆς ἐκκλησίας σου.

Παῦλε, ἡ ἀμφίστομος παρρησία,
ὁ κατὰ νόμον ζηλωτὴς

---

tit. rubrica in Vb non legitur
heirm. α' EE 103, n. 146, Germani, integrum praebent Ca A vv. 1-15 minime leguntur in Vb 1 Ἄσωμέν σοι A 6 προεδείχθητε A 9 ᾠκοδόμησε Ca 13 τρεῖς Ca A 19 κατεστήριξεν A 20 τῇ ἐκκλησίᾳ σου A 21-45 quinque troparia om. A 21 ἀμφίστοσμος Ca

---

6 Cfr. I Tim. 3,15; Apoc. 3,12 11 Deut. 8,15 13 Joh. 21,15-17 14 Matth. 26,69-75; Marc. 14,66-72; Luc. 22,54-62; Joh. 18,17-27 17-18 II Cor. 12,2

Παῦλε, ὁ ἄδυτος βυθὸς
Χριστοῦ τῆς θείας γνώσεως,
σοφίας λόγον καὶ ἡμᾶς
καταυγασθῆναι δυσώπει.

80 Τῆς ἐκκλησίας ὀφθαλμοί,
Πέτρε καὶ Παῦλε, σύμψυχοι,
ἐξιλεώσασθε ἡμῖν
Χριστὸν τὸν πάντων σωτῆρα.

Δόξα τῷ πάθει σου,
85 δόξα τῇ ἀναστάσει σου,
δόξα τῇ δόξῃ σου, Χριστέ,
δόξα σοι πρέπει καὶ αἶνος.

θεοτ. Ἄφθορε ἄμωμε
θεογεννῆτορ, φύλαττε
90 τοὺς ἐκβοῶντάς σοι πιστῶς
σὺν τῷ ἀγγέλῳ τὸ « χαῖρε ».

ᾠδὴ γ΄. *Ἐν κυρίῳ θεῷ μου*

Τῆς σοφίας οἱ στῦλοι,
Πέτρος καὶ Παῦλος εὐφημείσθωσαν
ὡς ἀσφαλεῖς κρηπῖδες
95 θεμέλιοί τε τῆς πίστεως.

Ἡ κορυφαία πέτρα
τῶν ἀποστόλων τοῦ δεσπότου Χριστοῦ,
τοῦ ἀκρογωνιαίου
λίθου, τιμάσθω ὁ Πέτρος πιστῶς.

---

heirm. γ΄ EE 104, n. 164, Germani, integrum referunt Ca A 92 σοφίας] ἐκκλησίας A 95 καὶ θεμέλιοι τῆς πίστεως A 97 τοῦ δεσπότου] ἡ ἀκρότης A 99 πέτρος τιμάσθω ὁ θεόκλητος (λίθου om.) A πίστεῶς Ca

---

98 s. Is. 28,16; Eph. 2,20; I Petr. ep. 2,6

100 Τὸ θεόφραστον στόμα,
ὁ τὸν Χριστὸν ἔνδον λαλοῦντα λαβών,
ὁ μέγας νοῦς, ὁ Παῦλος
ἀνευφημείσθω ὑπὸ πάντων ἡμῶν.

Πέτραν ἄθραυστον, Χριστέ,
105 τῇ ἐκκλησίᾳ προϋπέθηκας
καὶ ἄσειστον κρηπῖδα
Πέτρον καὶ Παῦλον, οὓς ἠγάπησας.

Οἱ θεόκτιστοι πύργοι
τῆς ἐκκλησίας ἀνυμνείσθωσαν,
110 οἱ τῶν ἀρρήτων μύσται,
Πέτρος καὶ Παῦλος οἱ θεόκλητοι.

Ὁ θεός, ταῖς πρεσβείαις
Πέτρου καὶ Παύλου δυσωπούμενος,
εἰρήνευσον τὸν κόσμον
115 ὡς ἀγαθός τε καὶ φιλάνθρωπος.

τριαδ. Τρία ἄναρχα σέβω,
μίαν ὁμόθρονον δοξάζω ἀρχήν,
οὐ τέμνω τὴν οὐσίαν
τρισυποστάτου θεότητος.

θεοτ. 120 Ἐπαξίως σοι πάντες
« χαῖρε » κραυγάζομεν σὺν τῷ Γαβριὴλ
τῇ κεχαριτωμένῃ·
χαῖρε· ὁ κύριος, ἁγνή, μετὰ σοῦ.

---

101 λαβὼν] τρανῶς A 104-111 duo troparia om. A 112 Ταῖς πρεσβείαις ὁ θεὸς A 114 τὸν κόσμον σου A 115 τε om. Vb Ca 116-119 τριαδ. om. A

---

101 Cfr. II Cor. 13,3 110 Cfr. Matth. 17,1-6; II Petr. ep. 1,16-18; II Cor. 12,4 121-123 Luc. 1,28

Κάθισμα.

Ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος*

Τῆς πίστεως τὴν πέτραν,
f. 222ᵛ ‖ τὸν πανεύφημον Πέτρον
καὶ ὑπέρμαχον Παῦλον,
τὴν σαγήνην τοῦ κόσμου,
5 ἀξίως εὐφημήσωμεν, πιστοί,
ὡς ἔχοντας τὰς κλεῖς τῶν οὐρανῶν·
ὑπ' αὐτῶν γὰρ ἐφωτίσθη
ἡ οἰκουμένη τὴν πίστιν τῆς τριάδος·
δόξα τῷ δοξάσαντι ὑμᾶς,
10 δόξα τῷ χαριτώσαντι,
δόξα τῷ δωρουμένῳ δι' ὑμῶν
ζωὴν τὴν αἰώνιον.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Τὸ θαλάσσιον
125 διερευνήσας κύτος ὁ Πέτρος,
τῇ σαγήνῃ τοῦ βαπτίσματος
Χριστῷ τὰ ἔθνη ἐζώγρησεν.

Τὸ ἐπίγειον
περιπολεύσας πλάτος ὁ Παῦλος,
130 τῇ γραφίδι τῆς χειρὸς αὐτοῦ
Χριστῷ τὸν κόσμον προσήγαγεν.

---

heirm. καθ. PaR 4   post κάθ. supra relatum, quod A om., scriptum invenimus in Vb: ἄλλον ἦχ. πλ. δ'· Τὸν βυθὸν τῆς ἁλίας καταλιπῶν ζήτησον ἐν τῷ μηναίῳ, quod κάθ., Τὸν βυθὸν τῆς ἁλείας καταλιπὼν MR V, 390, de quo Vb tantum mentionem facit, integrum referunt Ca A; ut alterum κάθ. add. A: Οὐρανόθεν τὴν κλῆσιν παρὰ Χριστοῦ MR V, 391
heirm. δ' EE 95, n. 134, Germani, integrum praebent Ca A   125 διερευνήσας κύτος] δι' εὐνομίας κῆτος A   130 τῇ γραφῇ διὰ χειρὸς αὐτοῦ A

124-127 Cfr. Luc. 5,1-10

Ἑορτάζουσα
Βηθσαϊδὰ κηρύττει τὸν Πέτρον,
καὶ Ταρσὸς πανηγυρίζουσα
135 τὸν Παῦλον ἔχει ἐγκώμιον.

Ἡ ἀκρότομος
τῶν μαθητῶν ἀκρότης, ὁ Πέτρος,
ὡς τῶν ὅλων πρωταπόστολος
ἀνευφημείσθω τοῖς ᾄσμασιν.

140 Ὁ φανότατος
τῶν ἀποστόλων κῆρυξ, ὁ Παῦλος,
τοῖς πιστοῖς ἐκ Ῥώμης σήμερον
ἐπιδημῶν συνευφραίνεται.

Πέτρον ἔχοντες
145 τὴν στερεὰν τῆς πίστεως βάσιν,
τὰ τῆς πλάνης οὐ δεδοίκαμεν
προσρησσόμενα κύματα.

Παῦλον ἔχοντες
δᾳδοῦχον καὶ λαμπτῆρα καὶ λύχνον,
150 πρὸς τὸ φῶς καθοδηγούμεθα
τῆς ἀπλανοῦς ἡμῶν πίστεως.

Πέτρος γέγονε
τῶν οὐρανῶν κλειδοῦχος καὶ μύστης,
Παῦλος, ἄνθρωπος ὁ τρίπηχυς,
155 τρεῖς οὐρανοὺς ὑπερβέβηκεν.

Πέτρε ἅγιε,
οὐρανομύστα Παῦλε κυρίου,
ἀπὸ Ῥώμης ἐπιφθάσαντες,
τὴν οἰκουμένην φωτίσατε.

---

135 ἔχει] εἰς A   136-155 quinque troparia om. A   143 ἐπιδημῶν] ἐπιμῶν Ca   145 στεῤῥὰν Vb   151 τῆς πίστεως Vb   155 οὐρανοὺς om. Vb   158 ἐπιφθάσατε A   159 φωτίσατε] φρουρήσατε A

152-153 Matth. 16,19   155 II Cor. 12,2

τριαδ. 160 Προσκυνήσωμεν
τὴν ἐν τριάδι καὶ ἐν μονάδι
τρισυπόστατον θεότητα
καὶ ὁμοούσιον δύναμιν.

θεοτ. Τὴν βασίλειον
165 ἐκ σοῦ πορφύραν, θεογεννῆτορ,
ὑφανθεῖσαν ὁ θεὸς ἡμῶν
σωματικῶς ἐστολίσατο.

ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς*

Νυκτομαχοῦσαν ποτὲ
τὴν Χριστοῦ ἐκκλησίαν
170 προέφθασαν οἱ δύο
λαμπτῆρες καὶ ἐφώτισαν,
Πέτρος καὶ Παῦλος οἱ πρόκριτοι.

Οἱ ἀροτῆρες Χριστοῦ
τὸν τῆς πίστεως σπόρον
175 σταυρῷ ὥσπερ ἀρότρῳ
τὰ ἔθνη ἐγεώργησαν,
Πέτρος καὶ Παῦλος οἱ πάνσοφοι.

Πέτρος, ὁ πάντα θερμός,
ἀρνησάμενος τρίτον,
180 τὸ τρίτον ὡμολόγει
f. 223 || φιλεῖν σε τὸν φιλάνθρωπον,
τῇ ἐρωτήσει φυγὼν τὴν ἄρνησιν.

Ὁ μέγας ῥήτωρ ἡμᾶς
ἐστιάσατο Παῦλος·

160-163 τριαδ. om. A 161 καὶ om. Vb καὶ μονάδι (ἐν om.) Ca 165 προφύραν Vb
heirm. ε' EE 104, n. 146, Germani, integrum referunt Ca A 169 Χριστοῦ om. Ca 172 οἱ θεόκριτοι A 173 Διαρωτῆρες A 182 τῇ ... ἄρνησιν] παντοδύναμον κύριον A

---

179 Matth. 26,69-75 et similes locos 180-181 Joh. 21,15-17

185 συνδράμετε τὰ ἔθνη,
τὰ δι' αὐτοῦ δεξάμενα
τὸν φωτισμόν, τὴν ζωήν, τὴν κάθαρσιν.

Πέτρος, ὁ πάλαι Κηφᾶς,
υἱὸν θεοῦ τοῦ ζῶντος
190 Χριστὸν προσωμολόγει
καὶ Παῦλος, γενόμενος
τυφλός, ἐπέγνω τὸν διωκόμενον.

Παῦλος, ὁ Σαῦλος ποτέ,
τοῦ Χριστοῦ ὁ διώκτης,
195 τὰς ὄψεις ἐπηρώθη,
ἀλλ' ὅλος φῶς ἐγένετο
τῇ ἀστραπῇ τοῦ φανέντος ἄνωθεν.

Σοὶ τὰς τοῦ Πέτρου, σωτήρ,
καὶ τοῦ Παύλου πρεσβείας
200 εἰς δέησιν προσφέρει
ἡ ἐκκλησία σύμπασα,
τοῦ οἰκτειρῆσαι τὸν λαόν σου, ἀγαθέ.

τριαδ. Σὺν τῷ πατρὶ τὸν υἱὸν
καὶ τὸ ἅγιον πνεῦμα
205 δοξάσωμεν, βοῶντες·
« ἅγιος, ἅγιος,
ἅγιος εἶ, τριὰς καὶ μονάς ».

θεοτ. Κινδύνων ῥῦσαι ἡμᾶς
καὶ φθορᾶς καὶ βαρβάρων,
210 ἁγία θεοτόκε·
σὲ γὰρ πάντες ἔχομεν
μετὰ θεὸν σκέπην ἀπροσμάχητον.

188-207 troparia et τριαδ. om. A 199 πρεσβείαις Vb Ca 202 ἀγεθὲ Ca
208-212 hoc alio θεοτ. utitur A:
Ἐν σοὶ τὸ πρῶτον ἡμῶν
θεοείκελον (θεοήκελλον cd.) κάλλος,
210 παρθένε, διεσώθη,
θεοῦ ἐνανθρωπίσαντος
καὶ τὸν Ἀδὰμ ἀναπλάσαντος.

188-190 Matth. 16,16 191-197 Act. 9,1-6

ᾠδὴ ς'. Ὡς Ἰωνᾶν τὸν προφήτην

Ὁ ἁλιεὺς τῶν ἰχθύων
σαγηνεύει τὰ ἔθνη, ὡς εἶπε Χριστός,
215 καὶ Παῦλος καθίσταται ῥήτωρ
τῆς ὅλης ἐκκλησίας,
ὁ πρὶν διώκτης Χριστοῦ.

Πέτρος, ἡ ἄτρεπτος πέτρα
καὶ ὁμόλογος βάσις τῆς πίστεως,
220 Χριστοῦ φρουρεῖ τὴν ἐκκλησίαν
καὶ πύλαι ᾅδου ταύτης
οὐ κατισχύσουσιν.

Παῦλος, ἡ ἄψευστος γλῶσσα,
ὁ πυρφόρος νοῦς τῶν οὐρανίων φωνῶν,
225 Χριστῷ μαθητεύει τὰ ἔθνη,
« τὸ ἔργον μου », κραυγάζων,
« ὑμεῖς ἐστὲ ἐν Χριστῷ ».

Δύο φωστῆρας μεγάλους
ὡς ἐν ἄλλῳ Χριστὸς στερεώματι
230 κατέπηξεν, Πέτρον καὶ Παῦλον,
τῇ πίστει δᾳδουχοῦντας
ἐκ Ῥώμης πᾶσαν τὴν γῆν.

Ὢ ἀκροθίνια πάντων
τοῦ Χριστοῦ μαθητῶν, θεορρήμονες,

---

heirm. ς' EE 103, n. 145, Joannis, integrum referunt Ca A: metro vv. 4-5 tropariorum, potius quam lectio ἀνάγαγε καὶ σῶσόν με φιλάνθρωπε, quae in EE et Ca refertur, melius aptatur lectio quae in A invenitur: ἀνάγαγε καὶ σῶσον / μόνε φιλάνθρωπε (cfr. Heirmologium Cryptense E.γ. II f. 94v) 216 ὅλης om. A 217 καὶ νῦν ὁ πρὶν ... A 219 καὶ] ἡ A 220 χριστῷ φέρει A 224 ὁ πυρφόρος in Vb non legitur 225 μαθητεύει] σαγηνεύει A 227 ἔστω A 229 ἐν ἄλλῳ Χριστὸς] ἐν ὕψει κύριος A 231 τῇ] τῆς Ca 232 ἐκ om. A 233-237 troparium om. A

213-214 Cfr. Matth.. 4,18-19; Marc. 1,16-17; Luc. 5,10 218-222 Matth. 16,16-18 226-227 I Cor. 9,1

235 τῆς πίστεως λίθοι καὶ πύργοι
ἐκ Ῥώμης συνελθόντες,
πάντας στηρίξατε.

τριαδ. Σὲ προσκυνῶ καὶ δοξάζω,
παναγία τριὰς ὁ θεὸς ἡμῶν,
240 πατέρα, υἱὸν καὶ τὸ πνεῦμα,
ὡς φῶς καὶ φῶτα τρία
καὶ ὡς ζωὴν καὶ ζωάς.

θεοτ. * Ὢ μακαρία κοιλία,
πόθεν ταύτην τὴν δόξαν ἐβλάστησας;
245 θεὸς ὁ τεχθείς, ὦ παρθένε,
εἰς φῶς ἐθνῶν καὶ δόξαν
καὶ ἀπολύτρωσιν.

ᾠδὴ ζ'. Ὁ ἐν τῷ ὄρει

Καθὼς προεῖπεν
ὁ Χριστός, ἡ σοφία,
250 πιόντες
τὸ ποτήριον τοῦ θανάτου,
οὐρανομύσται ἅγιοι,
f. 223v || θεοειδῶς ἐδοξάσθητε.

Πέτρος καὶ Παῦλος,
255 αἱ ἀκρότομοι πέτραι,
αἱ ὄντως

238-242 τριαδ. om. A 243-247 θεοτ. MR III, 463 245 τὸ τεχθὲν MR 246 εἰς] καὶ MR δόξα MR 247 ἀπολύτρωσις MR

post odem ς' legitur in Vb: κοντάκιον ζήτησον εἰς τὸ μηναῖον duo κοντάκ.: Τοὺς ἀσφαλεῖς MR V, 396 et Ἡ τῶν ἀποστόλων πανσεβάσμιος PHG XI et οἶκ. Τράνωσόν μου τὴν γλῶτταν MR V, 396 refert Ca κοντάκ. Τοὺς ἀσφαλεῖς et οἶκ. Τράνωσόν μου τὴν γλῶτταν invenimus in A

heirm. ζ' EE 104, n. 146, Germani, integrum Ca A praebent 255 ἀκρότομαι A

248-251 Cfr. Matth. 20,22; Marc. 10,38-39 255 Deut 8,15

ἀρραγεῖς τῶν δογμάτων βάσεις,
δεσμεῖν καὶ λύειν ἔλαβον
τὴν ἐξουσίαν ἐν λόγῳ θεοῦ.

260 « Πέτρε, φιλεῖς με; »
τοῦ Χριστοῦ φθεγγομένου,
ἐκ τρίτου
ὡμολόγει φιλεῖν ὁ Πέτρος,
τῇ ἐρωτήσει ἐκφυγὼν
265 τὸ τρισσὸν τῆς ἀρνήσεως.

« Τί με διώκεις; »
πηρωθέντι τὰς ὄψεις
τῷ Σαύλῳ
φιλανθρώπως Χριστὸς ἐβόα·
270 « ἀνάστα δεῦρο, φθάσον με,
τὰ ἔθνη μαθητεύσας ἐμοί ».

Πέτρος, ὁ πύργος
τῆς Χριστοῦ ἐκκλησίας,
ἡ πέτρα
275 τῆς ἀθραύστου ὁμολογίας,
ὁ πάντων πρῶτος, σήμερον
ἐν τῷ κόσμῳ δοξάζεται.

Παῦλος, ὁ στῦλος
τῆς Χριστοῦ ἐκκλησίας,
280 τὸ στόμα
τὸ πηγάσαν θεοῦ σοφίαν,
ὁ πρὶν διώκτης, ᾄσμασι
καὶ ᾠδαῖς μακαρίζεται.

Πέτρος καὶ Παῦλος,
285 οἱ φανότατοι λύχνοι,

261 φθεγγομένος Ca 263 ὁμολογεῖ A vv. 266-277 duo troparia om. A 275 ἀθραύστου] ἀφράστου Vb 278 στῦλος] σαῦλος A 281 τὸ πηγάσαν] τὸ διδάσχων A 284-289 troparium om. A

260-263 Joh. 21,15-17 265 Matth. 26,69-75 et similes locos 266-271 Cfr. Act. 9,1-6 285-288 Cfr. Matth. 5,13-16; Marc. 9,50; Luc. 14,34

οἱ ἅλες
οἱ ἀρτύσαντες θείοις λόγοις
τὴν οἰκουμένην, σήμερον
ἐνδημοῦντες, φρουροῦσιν ἡμᾶς.

τριαδ. 290 Τριὰς ὑμνείσθω
ἡ ὁμόθρονος φύσις,
ἀνάρχῳ
καὶ γεννήσει τε καὶ προόδῳ
προσκυνουμένη πάντοτε
295 ὑπὸ τῶν δοξαζόντων αὐτήν.

θεοτ. Βάτον ἑώρα
τῆς παρθένου τὴν μήτραν
ἀφλέκτως
ἐν πυρὶ φλογὸς μὴ φλεχθεῖσαν
300 Μωσῆς ὁ μέγας, κύριε,
τῆς ἀφράστως τεκούσης σε.

ᾠδὴ η΄. *Τὸν ἐκ τοῦ πατρὸς*
πρὸ τῶν αἰώνων
καὶ ἐπ᾽ ἐσχάτων ἐκ μητρὸς
ἀφράστως γεννηθέντα,
5 *παῖδες ὑπερυψοῦτε Χριστὸν*
τὸν θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Πέτρος, ἡ κρηπὶς
τῆς ἐκκλησίας,
Παῦλος, ὁ μέγας ὀφθαλμὸς
305 ἐθνῶν τῶν φωτισθέντων,
πάντας τοὺς φιλεόρτους ἡμᾶς
συνεκάλεσαν τῇ αὐτῶν μνήμῃ.

290-295 τριαδ. om. A 298 ἀφέλκτως Ca 299 μὴ φλεχθεῖσαν] καιομένην A
heirm. η΄, qui in heirmologiis editis non invenitur, integrum referunt cdd. heirm. 5-6 Χριστὸν τὸν θεὸν ἡμῶν om. A

296-300 Ex. 3,2

Πέτρος, ὁ λαμπτὴρ
ὡς λύχνος φαίνων,
310 τὴν ἐκκλησίαν δᾳδουχεῖ
ἐν τῇ ὁμολογίᾳ,
ἥπερ οἱ πιστεύοντες Χριστῷ
βαπτιζόμενοι ὁμολογοῦμεν.

Παῦλος, ὁ βραχὺς
315 καὶ μέγας ῥήτωρ,
ὁ ἐκ διώκτου ζηλωτὴς
καὶ λάμψας ὑπὲρ πάντας,
« στήκετε, γρηγορεῖτε », βοᾷ,
« ἐν ταῖς θλίψεσι μὴ ἐκκακεῖτε ».

320 Πέτρος ἐν σταυρῷ
κρεμνᾶται χαίρων,
ἀλλ' ἐπικέφαλα ποθῶν
ὁρᾶν σε τὸν δεσπότην,
« δοῦλος γὰρ οὐκ ἴσος ὢν », φησίν,
325 « σταυρωθήσομαι τῷ πλαστουργῷ μου ».

Παῦλος, ἐκτμηθεὶς
τὴν κάραν ξίφει,
ὑπεραλγεῖ τῶν ἀσθενῶν
f. 224 καὶ κράζει || καθ' ἡμέραν·
330 « τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ;
τίς σκανδαλίζεται καὶ οὐ πυροῦμαι; ».

Πέτρος, ἀπαρχὴ
τῶν ἀποστόλων
ἡ θεοστήρικτος κρηπὶς
335 τῆς ὅλης ἐκκλησίας,
πρέσβευε τοῦ σώζεσθαι ἡμᾶς,
τοὺς τιμῶντάς σε εἰς τοὺς αἰῶνας.

308-313 troparium om. A 316 ὁ om. Vb 317 λάμβας Vb 321 κρεμᾶται A 322 ποδῶν A 323 ὁρῶν A 324 ἴσως Ca A ὢν om. A 328 ὑπερλαλεῖ A 332-343 duo troparia om. A

---

318 I Cor. 16,13 319 Eph. 3,13 328-331 II Cor. 11,28-29

Σκεῦος ἐκλογῆς,
Χριστοῦ τὸ στόμα,
340 Παῦλε, ὁ ἔχων τὸν Χριστὸν
ἐν σοὶ ἀεὶ λαλοῦντα,
πρέσβευε φωτίζεσθαι ἡμῶν
τὴν διάνοιαν ταῖς διδαχαῖς σου.

τριαδ. Τὸν σὺν τῷ πατρὶ
345 πρὸ τῶν αἰώνων
καὶ σὺν τῷ πνεύματι υἱὸν
ὑμνούμενον ἀπαύστως,
πάντες ὀρθοδόξοις ἐν φωναῖς
μεγαλύνομεν εἰς τοὺς αἰῶνας.

θεοτ. 350 Λέλυται Ἀδὰμ
τῆς καταδίκης·
ὁ γὰρ τῶν ὅλων ποιητὴς
ἐτέχθη ἐκ παρθένου,
ὅθεν συγχορεύοντες, βροτοί,
355 ἀνυμνήσωμεν τὴν θεοτόκον.

ᾠδὴ θ'. *Μεγαλύνομεν πάντες*
τὴν φιλανθρωπίαν σου,
κύριε σωτὴρ ἡμῶν,
ὅτι ἐμεγάλυνας

---

339 τὸ στόματα Ca 344-349 τριαδ. om. A 350-355 pro hoc alterum θεοτ. refert A:
350 Σὺ τὸν οὐρανὸν
ἐν τῇ γεννήσει,
θεογεννῆτορ, τῷ Ἀδὰμ
ἠνέῳξας κλεισθέντα·
σὺ τὴν γεηρὰν οὐσίαν ἡμῶν
355 ἐκαινούργησας τῇ σῇ γεννήσει.

heirm. θ' differt ab illo edito in EE 104, n. 146, Germani, ubi pro ὅτι ἐμεγάλυνας ... ἀλήθεια (vv. 4-7) legimus: ἡ δόξα τῶν δούλων σου / καὶ στέφανος τῶν πιστῶν / ὁ μεγαλύνας τὴν μνήμην τῆς τεκούσης σε.

---

338 Act. 9,15 340-341 II Cor. 13,3

θεοτ. Ἡσαΐας σε ῥάβδον
Ἰεσσαὶ προεκάλει·
Μωσῆς δέ, πανάμωμε,
415 στάμνον μάννα ἔχουσαν
καὶ λυχνίαν φωτεινὴν
καὶ πλάκας νόμου
καὶ ῥάβδον βλαστήσασαν.

⟨ἄλλον⟩ θεοτ. Χαῖρε, πᾶσα βοᾷ σοι
420 τῶν ἀνθρώπων ἡ φύσις,
ὡς νόμου συμπλήρωμα
καὶ χάριτος πρόβολος·
χαῖρε, δι' ἧς ἡ ἐν Ἐδὲμ
ἀμαυρωθεῖσα
425 φύσις ἀνακαινίζεται.

412-418 primum θεοτ. om. A 415 μάννα om. Ca 419-425 alterum θεοτ. om. Ca 422 πρόβολοι A

412-413 Is. 11,1 414-415 Ex. 16,33 416 Ex. 25,31 417 Ex. 31,18 418 Num. 17,23

IN SANCTOS PETRUM ET PAULUM APOSTOLOS

Crypt. Δ.δ. I = Dd, ff. 149v-152v

⟨Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Δέχου τὸν ὕμνον, Πέτρε, τοῦ Γρηγορίου⟩.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Δεσποτικῇ προχειρίσει
τῶν μαθητῶν
κορυφαῖος γέγονας
καὶ τῆς πίστεως Χριστοῦ
5 πέτρα ὄντως ἄσειστος, ἐν ᾗ
στηριχθῆναι διὰ σοῦ,
Πέτρε, πρεσβεύομεν.

Ἐκ θείου πνεύματος, Παῦλε,
προεκλεχθεὶς
10 τῶν ἐθνῶν διδάσκαλος
καὶ τῆς χάριτος Χριστοῦ
σκεῦος ὄντως τίμιον· καὶ γὰρ
πάντα ἄνθρωπον θεῷ
πιστῶς προέστησας.

tit. rubrica canonis deest: in margine tantum ἤχ. πλ. β' et exordium heirm. invenimus; acrostichis vero, ode β' praetermissa, e tropariis sic exstat Δέχο. ..ν ὕμνον, Πέτρε, τοῦ Γρηγορίου et praeter nomen Γρηγορίου, quod in acrostichide tropariorum traditur, e theotokiis Κ⟨λ⟩ήμεντος nomen deducitur.
heirm. α' EE 159, n. 224, Joannis

5 Matth. 16,18 10 I Tim 2,7 11-12 Act. 9,15

5 *τῆς θεοτόκου τὴν νηδύν,*
ἐξ ἧς προῆλθεν
ἡ χάρις, ἡ ἀλήθεια.

Τοὺς ἐπὶ κλίνης πάλαι
καὶ κραββάτων κειμένους
Πέτρος διερχόμενος,
ἀνώρθου ἰώμενος
360 καὶ σκιὰ αὐτοῦ μόνη
τῶν ἀσθενούντων
τὰ πάθη ἐθεράπευεν.

Ἐκ τοῦ χρωτός σου, Παῦλε,
τὰ σουδάρια πάλαι
365 καὶ τὰ σιμικίνθια
τὴν χάριν λαμβάνοντα,
τοῖς ἀρρώστοις ἐν Χριστῷ
ἐπιτιθέμενα,
τὴν ῥῶσιν ἐπήγαζον.

370 Πέτρος ὁ θεολόγος,
τῶν μαθητῶν ἀκρότης,
Παῦλος ὁ ὑπέρτιμος,
τῆς πίστεως πρόβολοι,
ὁ μὲν σταυρούμενος σιγᾷ,
375 ὁ δὲ μαχαίρᾳ
χαίρει τελειούμενος.

Ὑψηλὸς νοῦς ὁ Παῦλος,
τῆς ἐκλογῆς τὸ σκεῦος,
ὁ ἔμψυχος κάλαμος,
380 ὁ χοῦς ὁ μετάρσιος,
ὁ ἕως τρίτου οὐρανοῦ

6 προῆλθες Vb Ca 357 κραβάττω A κραβάττων Ca 359 ἀνορθεῖ A 363 χρώτου A 368 ἐπιθέμενα Vb Ca 370 ὁ] ἡ A 371 ἡ ἀκρότης A 376 τελειούμενος γάννυται A 377-397 tria troparia om. A

356-362 Act. 5,14-16 363-369 Act. 19,11-12 378 Act. 9,15
381-382 II Cor. 12,2

ἀνανηξάμενος,
τὸν κόσμον ἐφώτισεν.

Τῶν ἐθνῶν οἱ ἁλιεῖς,
385 τὴν σαγήνην τοῦ λόγου
σοφῶς ὑφαπλώσαντες,
τὰ ἔθνη ἐζώγρησαν
ὡς ἰχθύας τῷ Χριστῷ
καὶ νῦν πρεσβεύουσιν
390 ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πέτρον καὶ Ἀνδρέαν,
Παῦλον καὶ Ἰωάννην,
Ἰάκωβον, Φίλιππον,
Βαρθολομαῖον, Λουκᾶν,
395 Μάρκον, Ματθαῖον
σὺν Ἰακώβῳ
πιστῶς εὐφημήσωμεν.

Ὅταν ἀξιωθῆτε
τῆς Χριστοῦ βασιλείας,
400 ἀπόστολοι ἔνδοξοι,
τῆς χάριτος ῥήτορες,
ἐπὶ δώδεκα θρόνων
κρῖναι τὸν κόσμον,
φείσασθε τῶν ψυχῶν ἡμῶν.

τριαδ. 405 Τρισυπόστατε φύσις,
ὁμοούσιε τριάς,
ἁπλῆ, ἀδιαίρετε,
ὁμότιμε, σύνθρονε,
πάτερ, υἱὲ καὶ τὸ εὐθὲς
410 πνεῦμα τὸ ἅγιον,
f. 224v σῶζε τοὺς || ὑμνοῦντάς σε.

386 σαφῶς Vb 402 θρόνους A 405-411 τριαδ. om. A

384-388 Matth. 4,19; Marc. 1,17; Luc. 5,10

15 Χάριν λαβόντες ἀξίως
παρὰ θεοῦ,
ἁμαρτίας λύετε
καὶ πταισμάτων νοσηρῶν
καὶ κινδύνων σώζετε ἡμᾶς,
20 Πέτρε φίλε τοῦ Χριστοῦ,
Παῦλε ἀπόστολε.

Οἱ καταφεύγοντες πίστει
πρὸς τὴν ὑμῶν
θείαν σκέπην πάντοτε,
25 κορυφαῖοι μαθηταί,
ἀβλαβεῖς γνωρίζονται, ὑμᾶς
κεκτημένοι βοηθούς,
Πέτρε καὶ Παῦλε σοφοί.

θεοτ. Καταφυγίου σε πόλιν
30 ὁ Μωϋσῆς
τυπικῶς προέγραψεν,
θεοτόκε παρθένε·
ἡ δὲ χάρις ἔδωκεν ἡμῖν
σὲ προστάτιν ἀγαθὴν
35 τοῖς κινδυνεύουσιν.

f. 150 ‖ ᾠδὴ γ'. *Ἐν σοί, Χριστέ, τῶν οὐρανῶν*
στερεωθεῖσα πᾶσα,
λόγε θεοῦ, ἡ δύναμις
διηγεῖται δόξαν ἀνεκλάλητον
5 *τῆς παντουργοῦ χειρός σου τὴν ποίησιν,*
ὅτι οὐκ ἔστιν ἅγιος
πλήν σου, φιλάνθρωπε.

Νεκρὰν ἐγείρας Ταβιθά,
δακρύων θλίψεις, Πέτρε,

---

15 Χάρι 16 θεῶ 17 λύεται 18 πταισμάτω νοσηρᾶς 19 σώζεται
23 ἡμῶν 34 προστάτην
heirm. γ' EE 177, n. 250, Theodori Anatolici heirm. 6 ὅτι om. EE

29-31 Num. 35,9ss. 36-38 Act. 9,36-43

ἀφεῖλες ἐκ προσώπου χηρῶν·
ἀλλὰ καὶ νῦν ἐπίβλεψον
40 καὶ τὰς ἡμῶν ὀδύνας παράγαγε,
ὅτι προστάτην σε
πάντες κεκτήμεθα.

Ὑμνεῖ σε Εὔτυχος πιστῶς,
ὃν νεκρωθέντα, Παῦλε,
45 κρημνοῦ ποτε ἐξήγειρας·
διὸ καὶ νῦν ταῖς θλίψεσι
νενεκρωμένους σπεῦσον καὶ πρόφθασον
τούς σε δοξάζοντας
πίστεως ᾄσμασιν.

50 Μεγάλους ἔχοντες ὑμᾶς
καὶ θείους ἀντιλήπτορας,
κινδύνους οὐ πτοούμεθα,
οὐδὲ ἀνθρώπων φρίττομεν
διαβολὰς καὶ ψήφους κακώσεων·
55 Πέτρος καὶ Παῦλος γὰρ
σκέπουσι πάντας ἡμᾶς.

θεοτ. Ἡ σὴ βοήθεια ἡμᾶς
ἁμαρτημάτων σώζει,
δι' ὧν αἱ θλίψεις ἔρχονται·
60 ἀλλὰ καὶ νῦν βοήθησον
καὶ ἐκ κινδύνων ῥῦσαι τοὺς δούλους σου,
⟨τοὺς ἀνυμνοῦντάς σε,⟩
ἄχραντε δέσποινα.

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Ὡς δύο φωταυγεῖς
τοῦ ἡλίου ἀστέρες,
. . . .

---

38 χειρῶν 43 Ὑμνῆσαι 45 κριμνῶ 54 διαβολής v. 62 om. cd.
κάθ. ed. in PHG, XCII, refert cd. secundum ἦχ. δ' πρὸς *Ἐπεφάνη σήμερον*

43-45 Act. 20,7-12

ᾠδὴ δ'. *Χριστός μου δύναμις,*
θεὸς καὶ κύριος

f. 150v || Νοσούντων ἴασις
65 ἡ ἐπισκίασις
τῆς σκιᾶς σου ἐδείχθη
καὶ ἡ φωνὴ
τῶν χωλῶν ἀνόρθωσις·
ἡ γὰρ τοιαύτη σοι χάρις
70 ἐκ θεοῦ ἐδόθη, Πέτρε σοφέ.

Ὀμβροῦσιν ἅπασι
τοῖς ἀσθενοῦσι δεινῶς
ἐκ τοῦ θείου σου χρώτου
ῥώσεις πολλαί,
75 Παῦλε ἐκλεκτὲ τοῦ θεοῦ·
οἱ γὰρ πολλοί σου ἱδρῶτες
τοῖς νοσοῦσι δρόσος ὤφθησαν.

Νεάζων πνεύματι,
υἱὸν θεοῦ ἐμφανῶς
80 τὸν Χριστὸν καταγγέλλει
Πέτρος, ὁ πρὶν
γλῶσσαν δεδιὼς τῆς παιδός·
ἡ γὰρ τοῦ πνεύματος χάρις
τὸν δειλὸν ἀνδρεῖον ἔδειξεν.

85 Πειράζων πρότερον
καὶ ἐκδιώκων Χριστόν,
ὁ πανεύφημος Παῦλος
ἐκ διωκτῶν
ὤφθη μαθητὴς ἐκλεκτός·
90 ἡ γὰρ τοῦ πνεύματος χάρις
τὸν ἐχθρὸν φίλον εἰργάσατο.

---

heirm. δ' EE 159, n. 224, Joannis 69 τῇ αὔτη (sic) 73 χρώτου (χρότου cd.) pro χρωτός: cfr. PSALTES, 178-179

64-66 Act. 5,15 s. 67-68 ibid. 3,1-10 71-74 ibid. 19,11-12 78-81 ibid. 2,22-36 81-82 Matth. 26,29 ss.; Marc. 14,66 ss.; Luc. 22,56 ss.; Joh. 18,17 ss. 85-86 Act. 8,3; 9,1-4; 26,9-12

θεοτ. Μὴ παύσῃ, δέσποινα,
ἱλεουμένη θεὸν
ὑπὲρ τῶν ἐπταισμένων
95 διὰ παντὸς
καὶ παιδευομένων καλῶς,
ὅτι ἐκ πλήθους πταισμάτων
πλῆθος θλίψεων ἐπῆλθεν ἡμῖν.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ἐνανθρωπείᾳ φύσει θαρρῶν,
100 Πέτρος κατελείφθη τὸ πρῶτον
καὶ ἐξηρνήθη τὸν κύριον,
ὃν κλαυθμῷ πικρῷ
ἐκζητήσας τρισσῶς
ἀρνήσεως τὸ τρίτον
105 τρισσῶς ἰάσατο.

Τυράννου τάξιν ἀναλαβών,
Παῦλος πιστοὺς διεπόρθει,
ὁ πρὸ τῆς ἐκκλησίας ἄδικος
νῦν δὲ χαίρει πάσχων,
110 κληθεὶς ἀπόστολος,
τὰ στίγματα βαστάζων
ἐν τῇ σαρκὶ τοῦ Χριστοῦ.

Ῥωμαίοις καύχημα εὐκλεὲς
Πέτρος ἀνεδείχθη καὶ Παῦλος
115 τῆς οἰκουμένης δὲ πάσης χαρά,
f. 151 πᾶσαν θλῖ||ψιν ὄντως
καὶ κινδύνους διώκοντες
καὶ θείας εὐφροσύνης
ἡμᾶς πιμπλοῦντες ἀεί.

---

heirm. ε' EE 159, n. 224, Joannis

---

99 ss. Matth. 26,30-35. 69-75; Marc. 14,26-31. 66-72; Luc. 22,31-35. 56-62; Joh. 13,38; 18,17-27 103-105 Joh. 21,15-17 106-107 Act. 9,1-2 111-112 Gal. 6,17

θεοτ. 120 Ἐπάκουσόν μου τοῦ στεναγμοῦ,
λῦσον τῆς ψυχῆς τὰς ὀδύνας,
ἃς ἁμαρτίαις συνέσφιγξα,
θεοτόκε μόνη,
ταῖς ἱκεσίαις σου
125 καὶ λύτρωσαι κινδύνων
καὶ περιστάσεως.

ᾠδὴ ϛ′. *Τοῦ βίου τὴν θάλασσαν*

Ἐκλήθης τὸ πρότερον
ὥσπερ ἄπιστος Κηφᾶς
καὶ μετεκλήθης χάριτι
130 Πέτρος ὄντως ὡς πέτρα ὑπὸ Χριστοῦ,
καὶ πίστεως ἔρεισμα
καὶ θεμέλιος θεῖος
τῆς ἐκκλησίας Χριστοῦ.

Τὸν Σαῦλον ἐπήρωσεν,
135 ἐπιλάμψαν ἐπ᾽ αὐτόν,
φῶς ἀληθῶς οὐράνιον,
καὶ γενόμενος Παῦλος θεοπρεπῶς,
τρανότερον ἔβλεπε
καὶ Χριστὸν καταγγέλλει
140 εἰς τὸν κόσμον τὸ φῶς.

Οἱ στῦλοι τῆς πίστεως,
οἱ προστάται τῶν πιστῶν,
χριστιανῶν τὸ καύχημα,
Πέτρος ἄμφω καὶ Παῦλος, οἱ ἐκλεκτοὶ
145 καὶ θεοῦ ἀπόστολοι,
ἐκ κινδύνων λυτροῦνται
τοὺς τιμῶντας αὐτούς.

---

heirm. ϛ′ EE 159, n. 224, Joannis

129-133 Matth. 16,18; Marc. 3,16; Luc. 6,14; Joh. 1,42   134-137 Act. 9,1-19; 13,9

θεοτ. Νικώμενος πάθεσι
καὶ θλιβόμενος ἀεὶ
150 τοῖς πειρασμοῖς τῶν ἔργων μου,
ἐπὶ σοὶ καταφεύγω, μήτηρ θεοῦ·
ἐλέησον, οἴκτειρον,
μὴ παράδος ἐχθροῖς με
εἰς ἀπώλειαν.

Κοντάκιον.

Ἦχος β′.

Τοὺς ἀσφαλεῖς
καὶ θεοφθόγγους κήρυκας
f. 151ᵛ ....

Ὁ οἶκος.

Τράνωσόν μου
τὴν γλῶτταν, σωτήρ μου,
....

ᾠδὴ ζ′. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

155 Ὑπηγάγετο αἰθέριον τὸν Σίμωνα
ἀπάτῃ ὡς ψευδῆ θεὸν
καὶ ἐδείκνυτο
ταῖς μαγίαις φασματοδραμεῖν·
τὸ γόνυ δὲ κλίνας πρὸς θεόν,
160 ὁ Πέτρος τοῦτον κατὰ γῆς
ἀφ᾽ ὕψους ἔρριψεν.

---

153 παραδῶς
κοντάκ. et οἶκ. MR V, 396   ἦχος γ′ cd.
heirm. ζ′ EE 159, n. 224, Joannis

155-161 R. A. Lipsius, *Acta Apostolorum apocrypha*, I (Lipsiae 1891), 82: Καὶ ἤδη τῇ ἐπιούσῃ ὁ ὄχλος πλείων συνήρχετο εἰς σάκραν βίαν, ὅπως ἴδωσιν αὐτὸν πετώμενον. ὁ δὲ Πέτρος ὅραμα θεασάμενος ἧκεν ἐπὶ τὸν τόπον, ὅπως αὐτὸν καὶ ἐν τούτῳ ἐλέγξῃ· ὅτε γὰρ εἰσίει εἰς τὴν Ῥώμην, ἐξέστησεν τοὺς ὄχλους πετώμενος. ἀλλ᾽ οὔπω

Γοητεύοντα Ἐλύμαν πρὶν τὸν ἄθεον
Παῦλος ὁ ζηλωτὴς τοῦ Χριστοῦ
ἀπετύφλωσεν,
165 καὶ πεισθεὶς ἀνέβλεψε τὸ φῶς
καὶ μέλπουσιν ὕμνον τῷ θεῷ·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ῥεριμμένος ἐν τοῖς πάθεσι τῶν ἔργων μου
170 καὶ πόνων, τοὺς οἰκέτας ὑμῶν
ὡς οἰκήτορας
τῆς σεπτῆς αὐλῆς ὑμῶν πιστούς,
ἀπόστολοι, πρόστητε θερμῶς
καὶ ἀναστήσατε ἡμᾶς,
175 Πέτρε καὶ Παῦλε σοφοί.

θεοτ. Τὸ παγκόσμιον τῆς σκέπης σου σωτήριον
ἅπαντες ἐπιστάμενοι,
δυσωποῦμέν σε,
ἐκτενῶς βοῶντές σοι, ἁγνή·
f. 152 180 « ἐλέησον, || μήτηρ τοῦ θεοῦ,
καὶ πάσης θλίψεως ἡμᾶς
⟨ῥῦσαι πρεσβείαις ταῖς σαῖς⟩ ».

---

165 πιστοῖς 182 scripsi: cd. v. om.

Πέτρος ὁ ἐλέγχων αὐτὸν ἦν ἐνδημῶν τῇ Ῥώμῃ, ἥνπερ οὕτως πλανῶν ἐφάντασεν, ὡς ἐκστῆναί τινας ἐπ' αὐτῷ. στὰς οὖν οὗτος ἐν τόπῳ ὑψηλῷ καὶ θεασάμενος τὸν Πέτρον, ἤρξατο λέγειν· Πέτρε, νῦν μάλιστα ὅταν ἀνέρχομαι κατέναντι τούτων πάντων θεωρουμένων λέγω σοι· Εἰ σοῦ ὁ θεὸς δύναται, ὃν Ἰουδαῖοι ἀνεῖλον καὶ ὑμᾶς ἐλιθοβόλησαν τοὺς ὑπ' ἐκείνου ἐκλελεγμένους, δειξάτω ὅτι θεοῦ ἐστιν ἡ πίστις αὐτοῦ, φανήτω ἐπὶ τούτῳ, εἰ ἀξία θεοῦ ἐστιν. ἐγὼ γὰρ ἀνελθὼν ἑαυτὸν ἐπιδείξω τῷ ὄχλῳ τούτῳ παντὶ ὅστις εἰμί. καὶ ἰδοὺ ἀρθέντος αὐτοῦ, εἰς τὸ ὕψος καὶ πάντων ὁρώντων αὐτὸν εἰς ὅλην ⟨τὴν⟩ Ῥώμην, καὶ ὑπὲρ τοὺς ναοὺς αὐτῆς καὶ τὰ ὄρη ἠρμένον, ἀφεώρων οἱ πιστοὶ εἰς τὸν Πέτρον. καὶ ὁ Πέτρος ἰδὼν τὸ παράδοξον τοῦ θεάματος ἐβόησεν πρὸς τὸν κύριον Ἰησοῦν Χριστόν· Ἐὰν ἀφῇς τοῦτον ποιῆσαι ὃ ἐπεχείρησεν, νῦν πάντες οἱ εἰς σὲ πιστεύσαντες σκανδαλισθήσονται καὶ ἔσται ἃ δι' ἐμοῦ ἔδωκας αὐτοῖς σημεῖα καὶ τέρατα ἄπιστα· τάχυνον κύριε τὴν χάριν σου, καὶ καταπεσόντος αὐτοῦ ἄνωθεν, ἐκλ⟨υθ⟩εὶς συστῇ καὶ μὴ ἀποθάνῃ, ἀλλὰ ⟨κε⟩νωθῇ καὶ τὸ σκέλος κατεάξῃ ἐκ τριῶν τόπων. Καὶ καταπεσόντος αὐτοῦ ἄνωθεν τὸ σκέλος κατέαξεν ἐκ τριῶν τόπων. τότε αὐτὸν λιθοβολήσαντες ἕκαστος εἰς τὰ ἴδια ἀνεχώρησαν, Πέτρῳ τὸ λοιπὸν πάντες πειθόμενοι.

162-164 Act. 13,8-12

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ἡ Χριστοῦ εὐωδία
Πέτρος καὶ Παῦλος ἐστίν,
185 τὸ ἀκένωτον μύρον
τῆς σωτηρίας ἡμῶν·
πᾶσι γὰρ αὐτοὶ
ὀσμὴν ζωῆς τὸν Χριστὸν
βρύουσιν ἐνθέως
190 καὶ λύουσι τὰς θλίψεις.

Γεωργοὶ καὶ προστάται
τοῦ ἀμπελῶνος Χριστοῦ,
πρεσβευταὶ καὶ σωτῆρες
χριστιανῶν ἀκλινεῖς,
195 Πέτρε θαυμαστέ,
Παῦλε πανεύφημε,
λύσατε κινδύνων
ἡμᾶς καὶ τῶν πταισμάτων.

Οἱ φωστῆρες τοῦ κόσμου
200 καὶ θεῖοι κήρυκες,
οἱ τῆς πίστεως ὄντες
θεοφιλεῖς ἀπαρχαί,
Πέτρος ὁ κλεινός,
Παῦλος ὁ ἔνδοξος,
205 σῴζουσι κινδύνων
καὶ λύουσι τὰς θλίψεις.

θεοτ. Οὐ πτοοῦμαι κινδύνους
ἁμαρτημάτων πολλῶν,
οὐδὲ φρίττω ἀνθρώπων
210 ἐπαγωγὰς πονηράς·
ἔχω γὰρ πιστῶς

---

heirm. η' EE 159, n. 224, Joannis

---

183 II Cor. 2,15 188 II Cor. 2,15; Eph. 5,2 191-192 Matth. 20,1 ss.

σέ, θεοτόκε ἁγνή,
τεῖχος προστασίας
καὶ σώζομαι ἐκ πάντων.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

215 Ῥητὰ οὐδ' ὅλως τὰ σὰ ἐγκώμια,
Πέτρε σοφέ,
εἰκότως ἐν ἀνθρώποις γεγένηνται,
ἀλλὰ δέξαι δέησιν οἰκέτου οἰκτράν·
πίστει καὶ πόθῳ θείῳ
220 σοῦ ἐγκρεμάμενον
καὶ ταῖς ἱεραῖς σου πρεσβείαις
ῥῦσαι τῶν θλίψεων.

Ἰδοὺ ὁ μέγας Χριστοῦ ἀπόστολος,
ὃν οὐ χωρεῖ
225 ἀνθρώπων ἀνυμνῆσαι τὰ στόματα
— διὰ σοῦ γὰρ ἅπαντες κλητοὶ τῷ θεῷ
ὤφθησαν ἐν τῇ πίστει —
Παῦλος ὁ ἔνδοξος,
ὁ τῶν θλιβομένων βοηθὸς
f. 152v 230 || καὶ τῶν πιστῶν πρεσβευτής.

Οἱ πρὶν δεσμῶται σαρκὶ γενάμενοι
ὑπὲρ Χριστοῦ,
τὰς κλεῖς τῆς βασιλείας δεσπόζουσι
καὶ Χριστῷ παρίστανται ὡς φίλοι αὐτοῦ,
235 Πέτρος καὶ Παῦλος ὄντως,
οὓς ἱκετεύσωμεν,
ἵνα τῶν ἐκεῖθεν ἀγαθῶν
ἀξιωθείημεν.

heirm. θ' EE 159, n. 224, Joannis

233 Matth. 16,19

Ὑμεῖς φωστῆρες Χριστοῦ ἐδείχθητε,
240 ζεῦγος θεοῦ
καὶ ξυνωρὶς θεόληπτος, ἅγιοι,
ἀποστόλων πρόκριτοι, σωτῆρες ἐθνῶν,
Πέτρε καὶ Παῦλε ἄμφω,
νῦν ἱκετεύσατε
245 ἐκ κινδύνων ῥύσασθαι ἡμᾶς
καὶ περιστάσεων.

θεοτ. Σεπτὸν καὶ μέγα τὸ σὸν μυστήριον,
μήτηρ θεοῦ,
ἐλπὶς τῶν ὀρθοδόξων πανύμνητε,
250 δι' οὗ οἱ ἀνάξιοι λυτρούμεθα
θλίψεων καὶ κινδύνων·
ὅθεν ὑμνοῦντές σε
τῆς ᾠδῆς τὸ χρέως οἱ πιστοὶ
ἀποπληρούμεθα.

IN SANCTOS XII APOSTOLOS

Synaxarium 779-782: Ἡ σύναξις τῶν τιμίων ἀποστόλων καὶ δήλωσις, ὅπως καὶ ποῦ ἕκαστος αὐτῶν ἐκήρυξεν. Εἰ γὰρ καὶ μὴ ὁμοῦ πάντες κεκοίμηνται, ἐν ἄλλῳ δὲ καὶ ἄλλῳ καιρῷ, ἀλλ' οὖν ἑορτάζουσα ἡ ἐκκλησία δι' ὑπερβάλλουσαν τιμὴν τὴν τούτων μνήμην πάντων ὁμοῦ μνημονεύει. Ἔστι τοίνυν πρῶτος Πέτρος ὁ διάπυρος ἐραστὴς τοῦ Χριστοῦ. Ὃς πρότερον μὲν ἐν Ἰουδαίᾳ, εἶτα ἐν Ἀντιοχείᾳ, ἔπειτα ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Καππαδοκίᾳ, Ἀσίᾳ τε καὶ Βιθυνίᾳ κηρύξας, κατῆλθε μέχρι Ῥώμης αὐτῆς· καὶ διὰ τὸ παρευδοκιμῆσαι αὐτὸν ἐν τοῖς θαύμασιν εἰς τὸν Σίμωνα τὸν μάγον, ὑπὸ Νέρωνος σταυρωθεὶς κατὰ κεφαλῆς τελειοῦται.

Δεύτερος Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς, τὸ μέγα δοχεῖον τοῦ παναγίου Πνεύματος. Ὃς τῷ ζήλῳ καὶ τῇ εἰς Χριστὸν πίστει πάντας ὑπερβαλὼν τοὺς ἀποστόλους, ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ κηρύξας τὸν Χριστὸν καὶ καταλαβὼν τὴν Ῥωμαίων πόλιν, ὑπὸ Νέρωνος τὴν κεφαλὴν ἀπετμήθη.

Τρίτος Ἀνδρέας ὁ πρωτόκλητος καὶ ἀδελφὸς Πέτρου, κατὰ πᾶσαν τὴν παράλιον Βιθυνίας τε καὶ Πόντου καὶ Ἀρμενίας τὸν Χριστὸν κηρύξας καὶ ὑποστρέψας διά τε Πόντου καὶ Βυζαντίδος κατῆλθε μέχρις Ἑλλάδος· καὶ ἐν Πάτραις τῆς Ἀχαΐας ὑπὸ Αἰγεάτου σταυρωθεὶς τελειοῦται.

Τέταρτος Ἰάκωβος, ὁ τοῦ Ζεβεδαίου. Ὃς ἐν πάσῃ τῇ Ἰουδαίᾳ τὸν Χριστὸν κηρύττων (ὑπὸ Ἡρώδου τοῦ καὶ Ἀγρίππα διὰ τὸ εὐπαρρησίαστον αὐτοῦ μαχαίρᾳ ἀναιρεῖται). *

Πέμπτος Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ θεολόγος καὶ ἀδελφὸς Ἰακώβου, ὁ ἐπὶ τὸ στῆθος τοῦ Χριστοῦ ἀναπεσών. Ὃς ἐν Ἀσίᾳ τὸν Χριστὸν κηρύξας καὶ ἐν Πάτμῳ τῇ νήσῳ ὑπὸ Δομετιανοῦ ἐξορισθεὶς καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ, ὑποστρέψας ἐν Ἐφέσῳ ἐν εἰρήνῃ ἀνεπαύσατο πλήρης ἡμερῶν ὑπάρχων.

Ἕκτος Φίλιππος ὁ ἀπὸ Βηθσαϊδᾶ τῆς Γαλιλαίας, συμπολίτης Ἀνδρέου καὶ Πέτρου. Ὃς ἔν τε Ἀσίᾳ καὶ Ἱεραπόλει ⟨τὸν Χριστὸν κηρύξας⟩ ὑπὸ τῶν ἑλλήνων σταυρωθεὶς τελειοῦται.

Ἕβδομος Θωμᾶς ὁ καὶ Δίδυμος. Ὃς Πάρθοις καὶ Μήδοις, Πέρσαις καὶ Ἰνδοῖς τὸν Θεὸν Λόγον κηρύξας, ὑπ' αὐτῶν λόγχαις διατρηθεὶς ἀναιρεῖται.

Ὄγδοος Βαρθολομαῖος. Ὃς Ἰνδοῖς τοῖς καλουμένοις εὐδαίμοσι κηρύξας τὸ Χριστοῦ εὐαγγέλιον (σταυρῷ προσηλωθεὶς), ἐν Ἀρβανουπόλει τελειοῦται.

* Quae in Synaxario a traditione canonis differunt, interclusionis notis ( ) declarantur; quae autem ad canonem non pertinent, inter signa [ ] secluduntur.

Ἔνατος Ματθαῖος, ὁ καὶ Λευῒς καὶ ἀδελφὸς Ἰακώβου τοῦ Ἀλφαίου, ὁ τελώνης καὶ εὐαγγελιστής, ὁ καὶ ποιήσας δοχὴν μεγάλην τῷ Ἰησοῦ (ἐν Ἱεραπόλει τῆς Συρίας κηρύξας, ἐκοιμήθη λίθοις βληθεὶς ὑπὸ τῶν διωκτῶν).

[Δέκατος Ἰάκωβος Ἀλφαίου, ...].

Ἑνδέκατος Σίμων ὁ Ζηλωτής, ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, ὁ καὶ ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ Ναθαναὴλ ὀνομαζόμενος. Οὗτος πᾶσαν τὴν Μαυριτανίαν καὶ τὴν τῶν Ἄφρων χώραν διελθών, ἔπειτα ἐν Βρεττανίᾳ ἀπελθὼν καὶ κηρύξας τὸν Χριστόν, σταυρωθεὶς ὑπ' αὐτῶν τελειοῦται.

Δωδέκατος Ἰούδας Ἰακώβου ὁ παρὰ μὲν τοῦ Λουκᾶ ἔν τε τῷ εὐαγγελίῳ καὶ ταῖς Πράξεσιν Ἰούδας ἐπονομαζόμενος, παρὰ δὲ Ματθαίου καὶ Μάρκου Θαδδαῖος καὶ Λεββαῖος καλούμενος, ἀδελφὸς κατὰ σάρκα χρηματίζων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὗτος ἐν Μεσοποταμίᾳ κηρύξας τὸ εὐαγγέλιον, ὕστερον ἐκοιμήθη ἐν Ἀραράτ τῇ πόλει, ὑπὸ τῶν ἀπίστων ἀναρτηθεὶς καὶ τοξευθείς.

Ματθίας [ὁ ἀντὶ τοῦ προδότου Ἰούδα συγκαταριθμηθεὶς τοῖς ἀποστόλοις, ἐν τῇ Αἰθιοπίᾳ κηρύξας τὸ εὐαγγέλιον καὶ πολλαῖς τιμωρίαις ὑπ' αὐτῶν αἰκισθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται].

Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου καὶ υἱὸς Ἰωσὴφ τοῦ μνηστῆρος (πρῶτος ἐπίσκοπος Ἱεροσολύμων γενόμενος, ὑπὸ τῶν Ἰουδαίων ἀπὸ τοῦ πτερυγίου τοῦ ἱεροῦ κρημνισθεὶς καὶ ξύλῳ τῶν κναφέων τὴν κάραν κρουσθεὶς τελειοῦται).

Crypt. Δ.α. XXXI = Ca, ff. 196-200v
Crypt. Δ.α. LXIII = Dg, ff. 113-122

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἠλιοὺ μελῴδημα.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Θάλασσαν ἔπηξας*

Ἡ δωδεκάπυρσος
χορεία καὶ σύμπνοια
τῶν ἀποστόλων τοῦ Χριστοῦ,
ἄφεσίν μοι αἴτησαι πταισμάτων
5 καὶ λόγον ἐπάξιον

tit. primum verbum acrostichidis, Ἠλιού, deducitur ex litteris initialibus omnium tropariorum odarum α'-ε', verbum μελόδημα (sic) effertur autem ex τριαδ. et θεοτ. odarum ς'-θ'
heirm. α' EE 230, n. 330, Andreae

δοθῆναι ἐν ἀνοίξει τῶν χειλέων
πρεσβευτικῶς,
ὅπως στέψωμαι φαιδρῶς
τὴν δοθεῖσάν σοι χάριν τοῦ πνεύματος.

10 Ἡ ἀδελφότροπος
δυὰς ἡ θεόκλητος,
Πέτρε, ἡ πέτρα τῶν πιστῶν,
τὸ ἄσειστον ἔρεισμα τοῦ κόσμου,
κορυφαῖε μέγιστε,
15 κλειδοῦχε οὐρανῶν, σὺν τῷ Ἀνδρέᾳ
τὸν Ἰησοῦν
ἐκτενῶς ὑπὲρ ἡμῶν
ἱκετεύσατε, θεομακάριστοι.

Ἡ εὐηχέστατος
20 τοῦ λόγου καὶ ἔντιμος
σάλπιγξ καὶ λύρα καὶ φωνή,
Παῦλε τρισμακάριστε καὶ ῥῆτορ,
τῶν ἐθνῶν διδάσκαλε,
ὁ νοῦς τῆς ὀρθοδόξου ἐκκλησίας,
25 τὸν Ἰησοῦν
πρέσβευε ὑπὲρ ἡμῶν
τῶν ὑμνούντων σε, θεομακάριστε.

Ἡ θεοφίλτατος
σφραγὶς ἡ θεόληπτος,
30 ἠγαπημένε καὶ σοφὲ
Ἰωάννη, κράτιστε παρθένε,
καὶ σεπτὲ Ἰάκωβε,
υἱοὶ τοῦ θεοφόρου Ζεβεδαίου,
τὸν Ἰησοῦν
35 ἐκτενῶς ὑπὲρ ἡμῶν
δυσωπήσατε εἰς τὸ σωθῆναι ἡμᾶς.

---

8 στέψοι μοι cdd.

---

31 Cfr. commentarium p. 412.

12-15 Cfr. Matth. 16,18-19 23 I Tim. 2,7 30 Cfr. Joh. 13,23; 19,26; 20,2; 21,7,20 33 Matth. 4,21; 10,2

Ἡ ἀδιάστροφος
ἐλπὶς καὶ πεποίθησις
τῆς εἰς θεὸν εἰσαγωγῆς,
40 Φίλιππε θεόκλητε φωσφόρε,
θεωρὲ τῆς κρείττονος
τοῦ λόγου κοινωνίας καὶ ἀξίας,
τὸν Ἰησοῦν
ἐκτενῶς ὑπὲρ ἡμῶν
45 καθικέτευε εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἡ οὐρανόδρομος
ὁδὸς εὐεπίβατος,
Βαρθολομαῖε, τῶν πιστῶν,
ὁ φθόγγος τοῦ πνεύματος τοῦ θείου,
50 ἡ ἀγγελοσύνθετος
διὰ τῆς προμηθείας ἁρμονία,
τὸν Ἰησοῦν
ἐκτενῶς ὑπὲρ ἡμῶν
καθικέτευε εἰς τὸ σωθῆναι ἡμᾶς.

55 Ἡ πνευματέμφορος
καρδία ἡ ἄδυτος,
τῆς οἰκουμένης λαμπηδών,
Ματθαῖε σεβάσμιε τελώνη,
συγγραφεῦ ἀκρότατε
60 ἀρρήτων μυστηρίων καὶ δογμάτων,
τὸν Ἰησοῦν
ἐκτενῶς ὑπὲρ ἡμῶν
καθικέτευε εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἡ θεοπόθητος
65 σκηνὴ καὶ ζωόρρυτος
καὶ ἀδιάσπαστος βουλή,
Θωμᾶ θεῖε, Δίδυμε θεόφρον,
μαθητὰ φιλέρευνε,
Χριστοῦ συζητητὰ τοῦ θείου πάθους,

---

63 post καθικέτευε Dg, post εἰς Ca cetera om.

67-69 Cfr. Joh. 11,16; 14,5-16; 20,24-29

70 τὸν Ἰησοῦν
ἐκτενῶς ὑπὲρ ἡμῶν
καθικέτευε εἰς τὸ σωθῆναι ἡμᾶς.

f. 196v || Ἡ εὐσεβόγνωμος
ζυγὴ καὶ χριστόλεκτος,
75 Ἰάκωβε ἀειλαμπῆ
καὶ πανευκλεέστατε Ἰούδα,
τῆς τριάδος κήρυκες,
θεάδελφοι ἄμφω θεομύσται,
τὸν Ἰησοῦν
80 ἐκτενῶς ὑπὲρ ἡμῶν
ἱκετεύσατε εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἡ χριστομίμητος
ἐν γνώσει προαίρεσις
καὶ χριστοκήρυκτος βοή,
85 Σίμων μύστα πάνσοφε τοῦ λόγου,
εὐσεβείας πρόμαχε,
ἐκφάντορ τῆς καλῆς ὁμολογίας,
τὸν Ἰησοῦν
ἐκτενῶς ὑπὲρ ἡμῶν
90 καθικέτευε εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἥπλωται ἅπασιν
ἡ χάρις ἡ ἄφθονος
τῶν ἀποστόλων τοῖς ἐν γῇ,
οὓς ἐγκωμιάσωμεν, βοῶντες·
« ταῖς αὐτῶν δεήσεσι
παράσχου, εὐεργέτα, τῷ λαῷ σου
τὸν ἱλασμὸν
ὡς φιλάνθρωπος θεὸς
καὶ ἀξίωσον τῆς βασιλείας σου ».

τριαδ. 100 Ἡ ἀδιαίρετος
τῇ φύσει καὶ σύνθρονος

72 post καθικέτευε Ca, post τὸ Dg cetera om. 75 ἀειλαμπῆ cdd. pro ἀειλαμπὲς: cfr. Psaltes, 152 81 v. om. Dg

78 Matth. 13,55; Marc. 6,3

καὶ παμβασίλειος τριάς,
ἡ ἀπερινόητος οὐσία,
ἡ ἀπειροδύναμος
105 θεότης καὶ ἰσχὺς καὶ ἐξουσία,
πάτερ, υἱὲ
καὶ τὸ πνεῦμα τὸ εὐθές,
ἐν τῇ δόξῃ σου μνήσθητι πάντων ἡμῶν.

θεοτ. Ἡ ἀπειρόγαμος
110 τοῦ λόγου γεννήτρια,
ἡ ζωοπάροχος πηγή,
θεοτόκε, πρέσβευε ῥυσθῆναι
τὸν λαὸν τοῦ τόκου σου
ἐχθρῶν ἐπιδρομῆς τῶν πολεμίων·
115 χριστιανῶν
σὺ γὰρ εἶ καταφυγὴ
καὶ ἀντίληψις τῶν προσκυνούντων σε.

ᾠδὴ β΄. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑμῶν,
ὁ ἐν ἐλέει πλούσιος
καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς,
5 *ὁ λυτρούμενος λαὸν*
ἐκ πλάνης καὶ δουλείας τῶν ἀθέων ἐχθρῶν.

* Λόγῳ ἐπίστευσε
τοῦ ἀδελφοῦ Κηφᾶς καὶ ὑπήκουσε
120 καί, καταλείψας ἅπαντα,
ἐπηκολούθησε Χριστῷ
καὶ ἐγένοντο βροτῶν
ὁ Πέτρος καὶ Ἀνδρέας ἁλιεῖς θαυμαστοί.

heirm. β΄ EE 230, n. 331, Andreae 118-123 PHG 87

118-121 Joh. 1,40-42 122-123 Matth. 4,19-20; Marc. 1,17-18; Luc. 5,10-11

* Λύρα τοῦ πνεύματος
125 τῆς ἐκκλησίας πρὶν ὁ διώκτης δειχθείς,
σκεῦος ὁ Παῦλος εὔχρηστον
δι' Ἀνανίου τοῦ σοφοῦ,
ἀποκαλύψαντος αὐτῷ
ἐξ ὕψους τοῦ κυρίου, νυνὶ δέδεικται.

130 Λίαν ποθήσαντες
τὸν ἐν σαρκὶ αὐτοῖς ὁραθέντα θεόν,
τὴν πατρικὴν ἀγάπησιν
ἐπιλαθόμενοι, καλῶς
ἔδραμον χαίροντες αὐτοῦ
135 ὀπίσω Ἰωάννης καὶ Ἰάκωβος.

Λάμψαν ἀπρόσιτον
ἐπὶ τῆς γῆς ἰδὼν φῶς ὁ Φίλιππος,
τὴν τῶν ἰχθύων ἔλιπεν
ἄγραν καὶ ἔφθασεν αὐτὸ
140 δι' ἐπιγνώσεως θεοῦ,
τὰ ἔθνη ὁδηγῶν πρὸς τὴν εὐσέβειαν.

Λαίλαπα οἷά περ
ταῖς τῶν βροτῶν ψυχαῖς ἐμφωλεύοντα,
f. 197 Βαρθολομαῖος || ἤλασε
145 τὸν πολεμήτορα ἐχθρὸν
καὶ ἐνεφύτευσεν αὐτοῖς
τὴν χάριν τοῦ κυρίου διὰ πίστεως.

Λύμην ἀνίατον,
θεοῦ καλέσαντος ἐπακούσας εὐθύς,
150 ἔλιπε τὸ τελώνιον
Ματθαῖος εὐαγγελιστής,

124-129 PHG 87 129 νῦν Dg PHG

142-147 Cfr. commentarium p. 415.

---

125 Act. 9,1-2; 22,4ss.; 26,9-11; I Cor. 15,9; Gal. 1,13; I Tim 1,13
126 II Tim. 2,21 127-129 Act. 9,10-19 130-135 Matth. 4,21-22
136-141 Cfr. Joh. 1,43-44 148-151 Matth. 9,9-10; Marc. 2,13-14; Luc.
5,27-28

θεορρήμων γεγονὼς
ἐν πίστει τε καὶ πόθῳ τῆς ἀγάπης αὐτοῦ.

Λαῦρον ψηλάφημα
155 καταμαθὼν Θωμᾶς, παρευθὺ πιστωθείς,
τῆς ἀπιστίας λέλυται,
κηρύττων πᾶσι τηλαυγῶς
θεὸν εἶναι καὶ βροτὸν
τὸν ξύλῳ σταυρωθέντα ἐν σαρκὶ δι' ἡμᾶς.

160 Λώβην δυσκάθεκτον
τῆς ἀγνωσίας πρὶν διεξέφυγον
οἱ Ἰωσὴφ μνήστορος γόνοι,
Ἰάκωβος ὁ παγκλεὴς
θεάδελφος καὶ σοφὸς
165 Ἰούδας, προσδραμόντες τῇ ἀγήρῳ ζωῇ.

Λύσιν χειρώσεως
ψυχοβλαβοῦς πιστῶς Σίμων εὕρατο
ὁ Κανανίτης· ἔγνω γὰρ
τὸν παντοκράτορα θεὸν
170 καὶ συνεκράθη τῷ αὐτοῦ
συνδέσμῳ τῆς ἀγάπης καὶ τῆς χάριτος.

Λύτρον τῶν πράξεων
καταπεμφθῆναι νῦν ἱκετεύσατε
αἰσχρῶν, Χριστοῦ ἀπόστολοι,
175 τοῖς εὐφημοῦσι μυστικῶς
τὰ ὀνόματα ὑμῶν,
τὴν χάριν, τὴν σοφίαν καὶ τὰ θαύματα.

τριαδ. Λαμπροφεγγής ἐστιν
ἡ πανστενὴς τριὰς καὶ ὑπέρθεος,
180 συνεκτική, ἀπρόσιτος,
ζωαρχική, ζωοποιός·

---

168 Χανανίτης Dg

154-159 Cfr. Joh. 20,27-29 166-171 Cfr. Joh. 1,45-51

εἷς θεὸς γάρ, ἡ αὐτή,
τῇ φύσει ἀναλλοίωτος, ἀΐδιος.

θεοτ. Λέγε πῶς τέτοκας
185 τὸν πλαστουργὸν Χριστόν, ἀδιάφθορε,
ὃν οὐρανοὶ οὐ σθένουσιν
ὡς ἀκατάληπτον χωρεῖν,
τὸ θαῦμα ξένον καὶ φρικτόν·
θεὸς ὤν, πάντα δρᾷ ὅσα καὶ βούλεται.

ᾠδὴ γ'. *Ἐστερεώθη*
ἡ καρδία μου ἐν κυρίῳ

190 Ἵνωται Πέτρος
τῷ Ἀνδρέᾳ καὶ κατὰ σάρκα
τῇ πίστει
πνεύματος παραδόξως
καὶ τὰ ἔθνη
195 ὁμαδὸν ἐσαγήνευσαν
τοῦ λόγου πρὸς τὴν ἐπίγνωσιν.

Ἴδεν ὁ Παῦλος
καὶ ἐπέγνω θεοῦ τὴν δόξαν
καὶ ῥήτωρ
200 γίνεται ὁ διώκτης·
ὢ σοφίας,
ὢ θεοῦ ἀγαπήσεως,
τὸν βλάσφημον θεολόγον ποιεῖ.

Ἵνα κερδάνῃ
205 Ἰωάννης σὺν Ἰακώβῳ
τὴν χάριν

187 κατάλειπτον Ca, Dg autem supra lineam add. ἀ heirm. γ' EE 230, n. 330, Andreae 190 Ἵνωται pro Ἥνωται acrostichidis causa 195 ἐπαγήνευσαν Ca 196 τὴν om. Dg 197 Ἴδεν pro Εἶδεν acrostichidis causa

190-196 Cfr. notas ad vv. 118-123 197-200 Act. 9,18-22 203 I Tim. 1,13

πνεύματος τοῦ ἁγίου,
τῆς ἁγνείας
ἐρασταὶ ἀνεδείχθησαν
210 ὡς ὄντες καὶ θαυμαστότατοι.

Ἱδρῶτι θείῳ
τὴν ἰχθύαγρον μοχθηρίαν
ἐν πίστει
Φίλιππος καταλείψας,
215 τῇ δυνάμει
τοῦ σταυροῦ βεβαιούμενος,
ἐδείχθη σαγηνευτὴς τῶν βροτῶν.

f. 197ᵛ || Ἱλαστηρίῳ
ψυχοσώστῳ προσπλησιάσας
220 τοῦ λόγου,
ἔλιπε τὰ τοῦ νόμου
καὶ τῆς νέας
ἐμυήθη τὰ ἄρρητα,
ποθήσας Βαρθολομαῖος Χριστόν.

225 Ἰλὺν κακίστην
ἀδικίας ἐγκαταλείψας,
Ματθαῖε,
δίκαιος ἀνεφάνης
τῷ τιμίῳ
230 διδασκάλῳ ἑπόμενος
σοφώτατα, ἀξιέπαινε.

Ἰὸν ζοφώδη
ἀπιστίας, Θωμᾶ, ἐκρίψας,
χιτῶνα
235 πίστεως ἐνεδύσω
τὸν ποικίλον,
καταγγέλλων τοῖς πέρασι
τὸν κύριον, ἀξιάγαστε.

217 ἐδείχθης Dg 225 Ἰλὴν cdd.

225-231 Cfr. notas ad vv. 148-151

Ἰταμῷ πλάνῃ
240 ἀγνωσίας καὶ ἀπειθείας
τῇ πίστει
ἀντεπαναστάθέντες,
ὁ Ἰούδας
καὶ Ἰάκωβος εἵλκυσαν
245 τὸ πνεῦμα Χριστοῦ τὸ ἅγιον.

Ἰουδαΐζειν
πρὸς τὴν πρόσταξιν τοῦ Μωσέως
ἐάσας
Σίμων ὁ Κανανίτης,
250 χριστοκῆρυξ
διαπρύσιος γέγονεν,
τῆς χάριτος τῷ φωτὶ καθαρθείς.

Ἰδοὺ ἐπλήσθη
τῶν σεπτῶν ὑμῶν διδαγμάτων
255 ὁ κόσμος
χάριτι τοῦ κυρίου
καὶ χορεύει,
θεοφόροι ἀπόστολοι
καὶ σύνθρονοι τοῦ παντάνακτος.

τριαδ. 260 Ἰσότιμόν σε,
πάτερ, λόγε καὶ θεῖον πνεῦμα,
δοξάζω,
σέβω καὶ μεγαλύνω
ὀρθοδόξως
265 ἐν τριάδι μονάδα σε,
θεέ μου καὶ βασιλεῦ καὶ κριτά.

θεοτ. Ἴθυνον πάντων
καὶ καρδίας καὶ τὰς αἰσθήσεις
τῶν πόθῳ,
270 ἄχραντε θεοτόκε,
προσκυνούντων

---

240 ἀπειθείας] ἀπαθείας Dg 249 Χανανίτης Dg

τὸν πανάγιον τόκον σου,
ἐκ θλίψεως λυτρουμένη ἡμᾶς.

ᾠδὴ δ'. *Ἐκάλυψεν οὐρανοὺς*
ἡ ἀρετή σου, κύριε,

Οἱ ἄνθρακες τοῦ Χριστοῦ,
275 Πέτρος πιστῶν τὸ καύχημα
καὶ Ἀνδρέας ὁ σοφός,
ἐν ᾠδαῖς ὑμνείσθωσαν θείαις.

Ὁ τίμιος τῶν ἐθνῶν
ποιμήν τε καὶ διδάσκαλος,
280 ὁ παγκόσμιος φωστήρ,
δοξαζέσθω Παῦλος ἀξίως.

Οἱ σύγγονοι καὶ υἱοὶ
τοῦ Ζεβεδαίου ᾄσμασιν
Ἰωάννης εὐκλεῶς
285 καὶ Ἰάκωβος δοξαζέσθω.

Ὁ μέγιστος καὶ θερμὸς
καὶ θεορρήμων Φίλιππος
ἐν ᾠδαῖς πνευματικαῖς
ἐγκωμιαζέσθω συμφώνως.

290 Ὁ ἄριστος μελῳδὸς
Βαρθολομαῖος πνεύματος
τοῦ ἁγίου καὶ θεοῦ
θεοπλόκοις ὕμνοις τιμάσθω.

---

post oden γ' tantum legimus in Ca κάθισμα τῆς ἑορτῆς, Dg praebet autem κάθ. Τῆς πίστεως τὴν πέτραν, in hoc volumine ed. p. 258 et ἄλλο κάθ. Τὸν βυθὸν τῆς ἀλείας καταλιπών, MR V, 390

heirm. δ' EE 226, n. 324, Germani 279 διδάσκαλος] διάσκάλος Ca

---

278-279 Eph. 4,11

Ὁ τελώνης καὶ θερμὸς
295 Ματθαῖος διαπρύσιος
Χριστοῦ εὐαγγελιστὴς
ἐπαινέσεσι ⟨δοξαζέσθω⟩.

⟨Ὁ . . . . . .
. . . .⟩
300 καὶ Χριστοῦ ψηλαφητὴς
λόγοις στεφανούσθω ἐνθέοις.

Οἱ σύμφωνες ἀδελφοί,
Ἰούδας καὶ Ἰάκωβος,
ἡ χριστόκλητος δυὰς
f. 198 305 ψαλμι‖κῶς νυνὶ γεραιρέσθω.

Ὁ εὔτυχος ὑπουργὸς
τοῦ λόγου καὶ ὑπήκοος
Σίμων ὁ πανευκλεὴς
Κανανίτης μεγαλυνέσθω.

310 Οἱ ἔνδοξοι μαθηταὶ
κυρίου καὶ διδάσκαλοι,
ἱκετεύσατε αὐτὸν
τοῦ σωθῆναι τὴν οἰκουμένην.

τριαδ. Ὁμόθρονον τῷ πατρὶ
315 υἱὸν καὶ πνεῦμα ἅγιον
προσκυνήσωμεν, πιστοί,
τὴν πανσθενουργόφωτον φύσιν.

θεοτ. Ὃν ἔτεκες ἀπαθῶς
ἱκέτευε, θεόνυμφε,
320 τοῦ συντρῖψαι τὴν ἰσχὺν
τῶν ἀθεωτάτων βαρβάρων.

---

vv. 297-299 om. et vv. 294-297, 300-301 in unum troparium cdd. miscent sed tum metrum, tum sensus (ψηλαφητὴς enim tantum Thomae aptatur) nec non ordo odae (cfr. commentarium p. 410) duo troparia distinguunt et poscunt 297 ἐπανήσεσι cdd. δοξαζέσθω scripsi 305 γεραιρέσθω] γὰρ αἱρέσθω Dg 309 Κανανίτης om. Dg 313 οἰκομένην Ca

ᾠδὴ ε΄. *Κύριε*
ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν

Ὕψιστον
διὰ πίστεως Πέτρος γνωρίσας σε,
ἔδειξεν
325 εἰς τὰ πέρατα σοῦ τὴν ἰσχὺν
καὶ Ἀνδρέας ἅμα,
οἱ ἀδελφόφρονες,
φωτοβολοῦντες τὰς ψυχὰς ἡμῶν.

Ὑψόθεν
330 ἐπακούσας σου Παῦλος, ἐπίστευσεν,
κύριε,
καὶ ἐκήρυξε πάσῃ τῇ γῇ
σοῦ τὴν δυναστείαν
καὶ τὰ θαυμάσια,
335 τὸ ὄνομά σου καὶ τὴν δόξαν σου.

Ὕψωσας
ὡς ἀμίαντον τὸν θεολόγον σου,
κύριε,
καὶ ἐδόξασας ἐπὶ τῆς γῆς
340 Ἰωάννην δόξῃ
καὶ τὸν Ἰάκωβον
καὶ συγκαθέδρους σου ἀπέδειξας.

Ὕλην σε
χρυσοθέατον καὶ πολυτίμητον,
345 Φίλιππε,
ἐν τοῖς ἔθνεσιν ὁ Ἰησοῦς
ἔδειξεν, ἀφθόνως
νέμουσαν ἄφθαρτον
τιμὴν καὶ δόξαν τοῖς πιστεύουσιν.

---

heirm. ε΄ ΕΕ 230, n. 330, Andreae 322 Ὕψιστο Ca Ὕψιστος Dg

322-323 Cfr. Matth. 16,16; Marc. 8,29; Luc. 9,20; Joh. 6,68-69
329-330 Act. 9,3 ss. 342 Cfr. Matth. 20, 20 ss.; Marc. 10,35 ss.

350 Ὕψωσιν
τὴν ταπείνωσιν ὡς ὁ διδάσκαλος,
ἔνδοξε,
ἐγκολπούμενος, τοῖς θαυμαστοῖς,
ὦ Βαρθολομαῖε,
355 ἔργοις ἐξέλαμψας,
Χριστὸν κηρύττων ἐν τοῖς ἔθνεσιν.

Ὕπουλον
ματαιότητα, Ματθαῖε, ἔφυγες,
χάριτα
360 ἀσπασάμενος ψυχωφελῆ
πίστιν καὶ λατρείαν·
ὅθεν καὶ γέγονας
τοῦ λόγου κῆρυξ διαπρύσιος.

Ὕμνησεν,
365 προσεκύνησεν ὃν ἐψηλάφησε
κύριον,
καὶ ἐκήρυξε πᾶσι Θωμᾶς,
ἐκ τῆς ἀπιστίας
τοὺς μὴ πιστεύοντας
370 διὰ τῆς πίστεως πιστούμενος.

Ὕπερθεν
ἐπεγνώκατε τῷ διὰ πίστεως
ἔρωτι
τὸν διδάσκαλον καὶ φωταυγῶς
375 τούτῳ συγκραθέντες,
φῶς ἀνεδείχθητε,
σεπτοὶ Ἰούδα καὶ Ἰάκωβε.

Ὕστατον
καταλάμψαντα τὸ φῶς τὸ ἄδυτον
380 χάριτι
θεασάμενος τοῖς ἐπὶ γῆς,
ἔθη τὰ Μωσέως

350-351 Cfr. Matth. 23,12; Luc. 14,11; 18,14 365-366 Cfr. Joh. 20,26-29

ἐνεκατέλειπες
καὶ τούτῳ, Σίμων, συνεξέλαμψας.

385 Ὕψωσον
τὴν εὐπρόσδεκτον φωνήν σου, ὕψωσον,
ἔνδοξε
δωδεκάς, ἐκτενῶς πρὸς θεόν,
ἵνα λυτρωθῶμεν
390 πάσης κακώσεως
οἱ εὐσεβῶς σε μακαρίζοντες.

f. 198ᵛ τριαδ.
|| Ὕψιστε,
ἀκατάληπτε, ἀπερινόητε,
ἄναρχε,
395 παντοδύναμε πάτερ, υἱὲ
καὶ τὸ θεῖον πνεῦμα,
σῶζε τοὺς ἕνα σε
ὁμολογοῦντας ἐν τριάδι θεόν.

θεοτ.
Ὕμνον σοι
400 ἱκετήριον πάντες προσφέρομεν,
δέσποινα,
καὶ κραυγάζομεν ῥῦσαι ἡμᾶς
τῆς ἐπικειμένης,
πάναγνε, θλίψεως,
405 τοὺς πολεμίους ἐδαφίζουσα.

ᾠδὴ ς'. *Ὡς ὕδατα θαλάσσης, φιλάνθρωπε,*

Πέτρος, τῶν ἀποστόλων ὁ πρόκριτος,
τὰς κλεῖς τῶν οὐρανῶν ἐμπιστεύεται,
καὶ γὰρ ἐπὶ σταυροῦ κρεμνᾶται ἀσέμνως
σὺν τῷ κλεινῷ καὶ συγγόνῳ Ἀνδρέᾳ, διὰ τὸ κήρυγμα.

---

heirm. ς' EE 230, n. 330, Andreae 408 κρεμᾶται Dg

---

409 M. BONNET, *Acta apostolorum apocrypha* II. 1 (Lipsiae1898), 61[18-19]: Καὶ ἐλθόντες οἱ δήμιοι προσήλωσαν αὐτοῦ ἐν τῷ σταυρῷ τοὺς πόδας ἄνω.

---

407 Matth. 16,19

410 Παῦλος ὁ τῶν ἀνθρώπων διδάσκαλος
εἰς τρίτον οὐρανὸν ἀνελήλυθεν,
καὶ γὰρ τὴν κεφαλὴν τῷ ξίφει ἐτμήθη,
τῆς ἐκλογῆς τὸ θεόκλητον σκεῦος, διὰ τὸ κήρυγμα.

Ἰάκωβος σοφὸς πρωτεπίσκοπος
415 ὁ δίκαιος τὴν πίστιν ἐτράνωσεν,
καὶ γὰρ ὑπὲρ αὐτῆς κρημνῷ κατηνέχθη,
ὁ ἀδελφὸς Ἰωάννης δὲ τούτου ζῶν μετατίθεται.

Φίλιππος ὁ πολὺς καὶ ἐξαίρετος
ἰᾶσθαι τοὺς νοσοῦντας κεκλήρωται,
420 καὶ γὰρ ἐπὶ σταυροῦ κρεμνᾶται ὡς Πέτρος,
ἐφύπερθε πρὸς τὸ ὕψος τοὺς πόδας, διὰ τὸ κήρυγμα.

---

420 κρεμᾶται Dg

414-416 Quae hic Iacobo Zebedaei filio tribuuntur, sunt autem Iacobo fratri Domini tribuenda. Cfr. EUSEBII, *Hist. Eccl.*, II 23,4-16 (ex Hegesippo): διαδέχεται τὴν ἐκκλησίαν μετὰ τῶν ἀποστόλων ὁ ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ πάντων δίκαιος ἀπὸ τῶν τοῦ κυρίου χρόνων μέχρι καὶ ἡμῶν ... τινὲς οὖν τῶν ἑπτὰ αἱρέσεων τῶν ἐν τῷ λαῷ, τῶν προγεγραμμένων μοι (ἐν τοῖς Ὑπομνήμασιν), ἐπυνθάνοντο αὐτοῦ τίς ἡ θύρα τοῦ Ἰησοῦ καὶ ἔλεγεν τοῦτον εἶναι τὸν σωτῆρα ... πολλῶν οὖν καὶ τῶν ἀρχόντων πιστευόντων, ἦν θόρυβος τῶν Ἰουδαίων καὶ γραμματέων καὶ Φαρισαίων λεγόντων ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδοκᾶν... ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ναοῦ, καὶ ἔκραξαν αὐτῷ καὶ εἶπαν « δίκαιε, ᾧ πάντες πείθεσθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ ». καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ « τί με ἐπερωτᾶτε περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ;» καὶ πολλῶν πληροφορηθέντων καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου καὶ λεγόντων « ὡσαννὰ τῷ υἱῷ Δαυίδ », τότε πάλιν οἱ αὐτοὶ γραμματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον « κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ· ἀλλὰ ἀναβάντες καταβάλωμεν αὐτόν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ » ... ἀναβάντες οὖν κατέβαλον τὸν δίκαιον.

417 BONNET, o.c., II. 1,215 (l. 7 ab imo in app. crit. secundum cd. *R*): ἐνέγκαντες οὖν σινδόνα εἰπλώσαμεν ἐπάνω αὐτοῦ καὶ εἰσελθόντες ἐν τῇ πόλει τῇ ἐπιούσῃ ἡμέρα ἐξελθόντες οὐχ εὕρομεν τὸ σῶμα αὐτοῦ μετετέθη γὰρ τῇ δυνάμει τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὧ δόξα...

419 Cfr. commentarium p. 414.

420-421 BONNET, o.c., II. 2, 54^{12}-55^{3}: Ἐκέλευσεν δὲ κρεμασθῆναι τὸν Φίλιππον καὶ τὰ σφυρὰ αὐτοῦ διατρηθῆναι, κομίσαι δὲ κόρακας σιδηροῦς καὶ τὰς πτέρνας αὐτοῦ διαπαρῆναι, καὶ κρεμασθῆναι κατὰ κεφαλῆς ἀπέναντι τοῦ ἱεροῦ ἐπί τινος δένδρου.

---

411 II Cor. 12,2 413 Act. 9,15

Βαρθολομαῖος νοῦς ὁ οὐράνιος
ναυσὶν ἐν τοῖς κινδύνοις προΐσταται,
καὶ γὰρ ὡς Παῦλος καρατομεῖται,
425 πρὸ τῆς σφαγῆς ἐκδαρθεὶς ὥσπερ θύλαξ, διὰ τὸ κήρυγμα.

Ματθαῖος, ὡς εἰς τύπον τοῦ ἄνακτος
Χριστοῦ τῆς παρουσίας γενόμενος
σοφὸς εὐαγγελιστής, πυρὶ τελειοῦται,
τῶν τελωνῶν ἡ σωτήριος στήλη, διὰ τὸ κήρυγμα.

430 Θωμᾶς ὁ τῶν ἀπίστων κατήγορος
τὰ ἔθνη πιστευθεὶς εἰσοικίζεται,
καὶ γὰρ ὡς μιμητὴς λογχεύεται πίστει
τοῦ Ἰησοῦ ἐξ ἀνδρῶν παρανόμων, διὰ τὸ κήρυγμα.

Ἰούδας ὁ διττὸς τὴν ἐπίκλησιν
435 καὶ τούτου ὁ συμμύστης Ἰάκωβος,

---

432 λογεύεται Dg vv. 434-437 post vv. 438-441 cdd. praebent, sed per analogiam cum ceteris odis, troparium, quod ad Iudam et Iacobum pertinet, ante troparium quod ad Simonem refertur transferendum puto

---

424-425 BONNET, o.c., II. 1, 149: τότε ὁ βασιλεὺς διέσχισε τὴν πορφύραν ἥνπερ ἦν ἐνδεδυμένος, καὶ ἐκέλευσε ῥαβδίζεσθαι τὸν ἅγιον ἀπόστολον Βαρθολομαῖον, καὶ οὕτως ἐκδαρθέντα ἀποκεφαλισθῆναι αὐτόν. T. SCHERMANN, *Prophetarum vitae fabulosae indices apostolorum* (Lipsiae, 1907), 198-199: Βαρθολομαῖος, οὗτος τοῖς Ἰνδοῖς τοῖς καλουμένοις Εὐδαίμοσι κηρύξας τὸν Χριστὸν ... τέθαπται ἐν Οὐρβανουπόλει τὴν κεφαλὴν ἀποτμηθεὶς πρὸ τῆς σφαγῆς ἐκδαρθεὶς ὥσπερ θύλαξ. THEODORI STUDITAE, *Oratio X*, PG 99,797B: Φασὶν γὰρ αὐτὸν μετὰ τὸ πολλὰς καὶ ἀνηκέστους ὑποῖσαι κολάσεις, ἐκδεδάρθαι ὑπὸ τῶν ἀσεβῶν εἰς θύλακος εἶδος.

428 BONNET, o.c., II. 1, 239-249: Εὐθὺς δὲ ὁ βασιλεὺς κρατῶν τὸν ἀπόστολον καὶ τῇ δεξιᾷ χειραγωγῶν αὐτὸν δόλῳ ἤγαγεν εἰς τὸ παλάτιον ... τότε λέγει ὁ Ματθαῖος· Τύραννε δόλιε, μέχρι πότε οὐκ ἐκτελεῖς τὰ ἔργα τοῦ πατρός σου τοῦ διαβόλου; Καὶ ὠργίσθη ἐπὶ τοῖς εἰρημένοις· διενοεῖτο μὲν γὰρ πικροτέρῳ θανάτῳ τιμωρήσασθαι αὐτόν. ἐπεκράτησεν δὲ τοῦ ἀναλῶσαι αὐτὸν πυρί. Sed in reliqua narratione, ignis, postquam idola delevit et ipsum tyrannum secutus est, non urit apostolum, qui denique in pace animam reddit Domino: ibid. 248-249: ... ἀνατείνας τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν καὶ εἰξάμενος ἑβραϊστὶ καὶ παραθέμενος τῷ κυρίῳ εἶπεν· Εἰρήνη ὑμῖν· Καὶ δοξάσας τὸν κύριον ἀνεπαύσατο ὡσεὶ ὥρᾳ ἕκτῃ. Invenimus autem in SCHERMANN, o.c., 199: Ματθαῖος ὁ τελώνης ... κηρύξας τὸν Χριστὸν ἐν Ἱεραπόλει τῆς Συρίας πυρὶ τελειοῦται.

434, 436-437 SCHERMANN, o.c., 199: Ἰούδας Ἰακώβου· οὗτος ἐν πάσῃ τῇ Μεσοποταμίᾳ κηρύξας τὸν Χριστὸν ὑπὸ Ἰουδαίων ἀναιρεῖται λίθοις, κεῖται δὲ ἐν Ἐδέσῃ τῇ πόλει.

Μέγαν πρόμαχον κέκτηται
490 ἡ Σιὼν τὸν Ματθαῖον,
τὸ σεπτὸν εὐαγγέλιον
ἐκ τούτου δεξαμένη,
σὺν ἡμῖν κραυγάζουσα·
« εὐλογητὸς ὁ θεὸς
495 ὁ ὑπ' αὐτῶν κηρυχθείς ».

Θωμᾶν ἔχουσα σύμμαχον
ἡ Ἰνδία χορεύει,
σὺν τοῖς Πάρθοις σοφώτατα
ἐν τούτῳ καυχωμένη,
500 σὺν ἡμῖν κραυγάζουσα·
« εὐλογητὸς ὁ θεὸς
ὁ ὑπ' αὐτῶν κηρυχθείς ».

Ἰακώβου τὰ θαύματα
Ἱερουσαλὴμ ᾄδει
505 καὶ Ἰούδα τὰ θέρατα
ἡ Μεσοποταμία,
σὺν ἡμῖν κραυγάζουσαι·
« εὐλογητὸς ὁ θεὸς
ὁ ὑπ' αὐτῶν κηρυχθείς ».

510 Σωτηρίας ὑπέρμαχον
καὶ ἄρρηκτον προστάτην
ἡ Κανὰ τὸν θεόφρονα
Σίμωνα κεκτημένη,
ὃς σὺν Ματθίᾳ ᾄδει νῦν·
515 « εὐλογητὸς ὁ θεὸς
ὁ ὑφ' ἡμῶν κηρυχθείς ».

Ἀποστόλων ἡ πάνσεπτος
δωδεκὰς ἡ ἁγία,
τὸν σωτῆρα ἱκέτευε
520 σωθῆναι τοὺς βοῶντας

502 v. om. Dg 507 κραυγάζουσα Dg 508 post θεὸς add. Dg εἶ 515 post εὐλογητός, εἶ add. Dg 516 ὑπ' αὐτῶν Dg

σὺν ὑμῖν σοφώτατα·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

τριαδ. Λειτουργοῦσιν οἱ ἄγγελοι
525 παριστάμενοι φόβῳ
τὸν τρισάγιον ὕμνον σοι,
πάτερ, υἱὲ καὶ πνεῦμα,
ἐκβοῶντες· « ἅγιος,
ἅγιος, ἅγιος,
530 ὁ ἐν τριάδι θεός ».

θεοτ. Ὅπλον ἄρρηκτον ἔχοντες
τὸν σταυρὸν τοῦ υἱοῦ σου,
θεοτόκε, πρεσβείαις σου
τοὺς ἡμᾶς πολεμοῦντας
535 ὑπὸ πόδα σχοίημεν,
εὐλογημένη ἁγνή,
f. 199v || χριστιανῶν ἡ ἐλπίς.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Πέτρε κορυφαιότατε,
μαθητῶν ἡ ἀκράδαντος
540 πέτρα, ὀρθοδόξων
καὶ πιστῶν τὸ στήριγμα,
Ἀνδρέα θεόκλητε,
δυὰς ἡ κοσμοπόθητος,
πρέσβευε σωθῆναι
545 τοὺς βοῶντας ἀπαύστως·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

550 Παῦλε, ὁ ἐν ταῖς λέξεσι
περιβόητος ἄνθρωπος,

521 ἡμῖν cdd.
heirm. η' EE 219, n. 314, Joannis 547 v. om. Ca 549 v. om. Ca

πιστὸς ἀδελφός, παρὰ Ἰουδαίων
τῶν δυσσεβῶν ἀναιροῦνται πόθῳ, διὰ τὸ κήρυγμα.

Σίμων ὁ Κανανίτης δεδόξασται
ὑψόθεν ἐν τοῖς θαύμασιν· πίστει γὰρ
440 καὐτὸς ἐπὶ σταυροῦ ὑψώθη γνησίως,
μιμούμενος τὸν διδάσκαλον ὄντως, διὰ τὸ κήρυγμα.

⟨Α . . . .
. . . .
. . . .
445 . . . .⟩

τριαδ. Μονάδα τρισυπόστατον ἄναρχον,
τριάδα χαρακτῆρσι μονόθεον,
ὑμνῶ θεοπρεπῶς τὴν ἄτμητον φύσιν·
θεὸς γὰρ ἦν ὁ πατὴρ καὶ ὁ λόγος καὶ πνεῦμα ἅγιον.

. 199 θεοτ. || Ἐπίβλεψον καὶ ἴδε, πανύμνητε,
451 τὴν κάκωσιν, ἁγνή, καὶ τὴν ἅλωσιν
ἡμῶν τῶν ταπεινῶν καὶ ὄλεσον τάχος
τοῦ Ἰσμαὴλ τὸ ἀνήμερον θράσος ταῖς ἱκεσίαις σου.

ᾠδὴ ζʹ. *Τῶν Χαλδαίων ἡ κάμινος*

Πέτρον Ῥώμη κατέχουσα
455 ἐν σώματι γεραίρει

---

437 ἀναιροῦντες cdd. vv. 442-445: ex ordine canonis troparium ad omnes apostolos pertinens abesse conicitur (cfr. commentarium pp. 409-410) post oden ϛʹ refert Ca tantum initium κοντακ. Τοὺς ἀσφαλεῖς, in HR 84 ed., quod Dg integrum refert heirm. ζʹ EE 230, n. 330, Andreae

---

454-455, 461-462 EUSEBII, *Hist. Eccl.*, II 25,5-7 . . . καὶ πιστοῦταί γε τὴν ἱστορίαν ἡ Πέτρου καὶ Παύλου εἰς δεῦρο κρατήσασα ἐπὶ τῶν αὐτόθι κοιμητηρίων πρόσρησις, οὐδὲν δὲ ἧττον καὶ ἐκκλησιαστικὸς ἀνήρ, Γάϊος ὄνομα, κατὰ Ζεφυρῖνον Ῥωμαίων γεγονὼς ἐπίσκοπον· ὃς δὴ Πρόκλῳ τῆς κατὰ Φρύγας προϊσταμένῳ γνώμης ἐγγράφως διαλεχθείς, αὐτὰ δὴ ταῦτα περὶ τῶν τόπων, ἔνθα τῶν εἰρημένων ἀποστόλων τὰ ἱερὰ σκηνώματα κατατέθειται, φησίν, « ἐγὼ δὲ τὰ τρόπαια τῶν ἀποστόλων ἔχω δεῖξαι. ἐὰν γὰρ θελήσῃς ἀπελθεῖν ἐπὶ τὸν Βασικανὸν ἢ ἐπὶ τὴν ὁδὸν τὴν Ὠστίαν, εὑρήσεις τὰ τρόπαια τῶν ταύτην ἱδρυσαμένων τὴν ἐκκλησίαν ».

καὶ αἱ Πάτραι τὸν σύγγονον
καὶ σύμφωνον Ἀνδρέαν,
σὺν ἡμῖν κραυγάζουσαι·
« εὐλογητὸς ὁ θεὸς
460 ὁ τῶν πατέρων ἡμῶν ».

Παῦλον Ῥώμη κατέχουσα
ἐν σώματι γεραίρει
καὶ ὁ κόσμος τὰ δόγματα
αὐτοῦ καὶ τὰς ἰάσεις·
465 διὸ πίστει κράζομεν·
« εὐλογητὸς ὁ θεὸς
ὁ ὑπ' αὐτοῦ κηρυχθείς ».

Ἰωάννην ἡ Ἔφεσος
ἐν πνεύματι λαχοῦσα,
470 μυστικῶς ἐναβρύνεται·
Ἰάκωβον δοξάζει
τὰ Ἱεροσόλυμα·
εὐλογητὸς ὁ θεὸς
ὁ ὑπ' αὐτῶν κηρυχθείς.

475 Φῶς τὸν Φίλιππον ἄδυτον
Βηθσαϊδὰ ἐν πίστει
κεκτημένη, λαμπρύνεται
καὶ Ἱερὰ ἡ πόλις
ὁμαδὸν κραυγάζουσα·
480 « εὐλογητὸς ὁ θεὸς
ὁ ὑπ' αὐτῶν κηρυχθείς ».

Βοηθὸν μὲν ἡ Λίπαρις,
Ἀρμενία δὲ κλέος
ἐφευράμεναι γήθονται
485 Βαρθολομαῖον ἅμα,
σὺν ἡμῖν κραυγάζουσαι·
« εὐλογητὸς ὁ θεὸς
ὁ ὑπ' αὐτῶν κηρυχθείς ».

---

482 BONNET, o.c., II. 1, 149: ἀκούσας δὲ ὁ βασιλεὺς Ἀστρῆγες ἐκέλευσεν αὐτὸν ἐν τῇ θαλάσσῃ ῥιφῆναι· καὶ μετηνέχθη τὸ λείψανον αὐτοῦ ἐν τῇ νήσῳ τῆς Λιπάρεως.

καὶ τῆς ἐκκλησίας
ὀφθαλμὲ ἀείφωτε,
ἐθνῶν τε διδάσκαλε
555 καὶ τῶν περάτων πάντων ποιμήν,
πρέσβευε σωθῆναι
διὰ σοῦ τοὺς βοῶντας·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
560 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἱεραρχῶν τὸ καύχημα,
μυστολέκτα Ἰάκωβε,
θεῖε θεολόγε
565 Ἰωάννη πάνσοφε,
δυὰς θεοπλούτιστε
ἡ βροντόφωνος καὶ θαυμαστή,
πρέσβευε σωθῆναι
διὰ σοῦ τοὺς βοῶντας·
570 « οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Φίλιππε ὡραιόψυχε,
575 τῶν πιστῶν ὁ ὑπέρμαχος
καὶ τῶν ἀπειθῶν
κατατομεῦ πανάριστε,
δαιμόνων κατάπτωσις
καὶ ἐχιδνῶν ἀναίρεσις,

558-561 post παῖδες cetera om. Dg vv. 559-561 om. Ca vv. 571-573 om. Dg v. 571 et 573 om. Ca

---

576-578 Cfr. commentarium pp. 414-415.
579 Cfr. commentarium p. 415.

---

567 Cfr. Marc. 3,17

580 πρέσβευε σωθῆναι
τοὺς βοῶντας ἀπαύστως·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
585 εἰς πάντας τοὺς αἰῶνας ».

Βαρθολομαῖε ἔνδοξε,
Μαριάμνης τὸ καύχημα,
ὑπερασπιστά,
τῆς τοῦ Φιλίππου συναγωγῆς
590 ὁμότροπε, σύσκηνε,
συγκοινωνὲ τῆς τούτου χαρᾶς,
πρέσβευε σωθῆναι
διὰ σοῦ τοὺς βοῶντας·
« οἱ παῖδες εὐλογεῖτε,
595 ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ματθαῖε ἀγγελόμορφε,
τελωνῶν ἡ μετάνοια,
600 εὐαγγελιστὰ
τῆς παρουσίας τῆς τοῦ Χριστοῦ,
ἁγίων ὁ ἔπαινος,
ἁμαρτωλῶν ἡ μίμησις,
πρέσβευε σωθῆναι
605 διὰ σοῦ τοὺς βοῶντας·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

610 Θωμᾶ θεομακάριστε,
τῶν ἀπίστων ὁ ἔλεγχος,

---

vv. 584-585 om. cdd. vv. 596-597 om. Ca 597 τοὺς αἰῶνας om. Dg vv. 607-609 om. Dg 608-609 post λαὸς cetera om. Ca

---

586-591 Cfr. commentarium p. 416.

ὁ ψηλαφητὴς
τῆς τοῦ Χριστοῦ ἁγίας πλευρᾶς,
τῆς πίστεως ἥλιε
615 καὶ ὀλετὴρ ἀνδρῶν ἀπειθῶν,
πρέσβευε σωθῆναι
διὰ σοῦ τοὺς βοῶντας·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
620 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἰούδα καὶ Ἰάκωβε,
ζυγὴ θεοεπίλεκτε
τῆς πνευματικῆς
625 καὶ ἱερᾶς ἀρόσεως
τοῦ σπόρου τῆς γνώσεως
τῆς παγκοσμίου θείας τρυφῆς,
πρέσβευε σωθῆναι
διὰ σοῦ τοὺς βοῶντας·
630 « οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Σίμων τὸ παγγλυκύτατον
635 καὶ ἡδύφθογγον στόμα Χριστοῦ,
ἡ εὐφραντικὴ
τῆς οἰκουμένης ἄμπελος,
Ἑβραίων ἡ δίωξις,
χριστιανῶν ὁ πρόμαχος,
640 πρέσβευε σωθῆναι
διὰ σοῦ τοὺς βοῶντας·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,

619-621 post ἱερεῖς cetera om. cdd. 629-633 post τοὺς cetera om. Ca vv. 632-633 om. Dg 642-645 post παῖδες cetera om. Dg vv. 643-645 om. Ca

---

612-613 Joh. 20,27-29

λαὸς ὑπερυψοῦτε
645 εἰς πάντας τοὺς αἰῶνας ».

f. 200 ‖ Ἀποσταλεῖσα χάριτι
τῶν ἀποστόλων ἡ δωδεκὰς
παρὰ τοῦ σωτῆρος,
εἰς τὸν κόσμον ἅπαντα
650 τριάδα ἐκήρυξεν,
πολυθεΐαν ἔσβεσε
καὶ ἐφωταγώγησεν
ἡμᾶς τοὺς βοῶντας·
« οἱ παῖδες εὐλογεῖτε,
655 ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

τριαδ. Δόξα, τιμὴ καὶ αἴνεσις
καὶ προσκύνησις πρέπει σοι,
660 ἄτμητε τριάς,
πάτερ, υἱὲ καὶ πνεῦμα εὐθές,
θεὲ θεῶν κύριε,
ἄναξ ἀνάκτων ἄναρχε,
σὲ ἡ κτίσις πᾶσα
665 ἀνυμνεῖ ἐκβοῶσα·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. 670 Ἡ ἀρχηγὸς καὶ πρόξενος
τῆς χαρᾶς ἡμῶν, δέσποινα,
μῆτερ τοῦ θεοῦ,
πρεσβευτικῶς συμμάχησον,
τὴν νίκην βραβεύουσα
675 τῷ φιλοχρίστῳ ἄνακτι,
ἵνα ἐν εἰρήνῃ
τῷ υἱῷ σου βοῶμεν·
« οἱ παῖδες εὐλογεῖτε,

655-657 post ἱερεῖς cetera om. Dg vv. 656-657 om. Ca vv. 667-669 om. Dg vv. 668-669 om. Ca

COMMENTARIO

ἱερεῖς ἀνυμνεῖτε,
680 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Ἀπόστολοι κυρίου, Πέτρε σοφὲ
καὶ Ἀνδρέα καὶ Παῦλε, Ἰάκωβε
καὶ Ἰωάννη,
685 σὺν τῷ Φιλίππῳ τῷ θαυμαστῷ,
Βαρθολομαίῳ ἅμα τε,
Ματθαίῳ τῷ ἐνδόξῳ καὶ τῷ Θωμᾷ,
Ἰούδᾳ, Ἰακώβῳ,
σὺν Σίμωνι τῷ θείῳ,
690 ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύσατε.

Ἀπόστολοι κυρίου καὶ κοινωνοὶ
τῶν αὐτοῦ παθημάτων καὶ κήρυκες
τῆς πατρικῆς
δόξης καὶ τοῦ πνεύματος λειτουργοί,
695 οἱ οὐρανοπολῖται,
κόσμου τῶν περάτων φωταγωγοί,
πρεσβεύσατε ἀπαύστως
ῥυσθῆναι τῶν παγίδων
τοῦ ἀλλοτρίου τὰς ψυχὰς ἡμῶν.

700 Ἀπόστολοι κυρίου καὶ μιμηταὶ
τῆς αὐτοῦ παρουσίας καὶ μάρτυρες
τῆς ἀκραιφνοῦς
πίστεως, οἱ ἔνδοξοι μελουργοὶ
τῆς παμφαοῦς τριάδος,
705 ἄσειστοι θεμέλιοι τῶν πιστῶν,
πρεσβεύσατε ἀπαύστως
φρουρεῖσθαι ἀπημάντους
τὰς ἐκκλησίας ἐν τοῖς δόγμασιν.

Ἀπόστολοι κυρίου καὶ ὑπουργοί,
710 κοινωνοὶ τῶν θαυμάτων καὶ φύλακες

vv. 679-681 om. Dg vv. 680-681 om. Ca
heirm. θ' EE 220, n. 314, Joannis

τῶν ἐντολῶν
καὶ εὐαγγελίων τοῦ Ἰησοῦ,
ἐκλελεγμένοι πρόμαχοι,
σύμπνοια θεάρεστος καὶ φαιδρά,
715 πρεσβεύσατε ἀπαύστως,
τὴν πίστιν στηριχθῆναι
ταῖς ὑμῶν θείαις διατάξεσιν.

Ἀπόστολοι αὐτόπται τοῦ Ἰησοῦ,
τῶν ἐθνῶν παιδευταὶ καὶ διδάσκαλοι,
720 τῶν ζωηρῶν
ἔμπνεοι χαρίτων καὶ χορηγοί,
νοσούντων ἰατῆρες,
πάντων οἱ σωτήριοι ὁδηγοί,
πρεσβεύσατε δοθῆναι
725 τῷ κόσμῳ τὴν εἰρήνην
καὶ κατ' ἐχθρῶν ἰσχὺν τῷ ἄνακτι.

τριαδ. Μερίς μου καὶ βοήθεια ἡ τριάς,
f. 200v φωταυγὸς καὶ σφρα‖γίς, ἱλασμὸς καὶ θεός,
ὁ παντουργὸς
730 καὶ δεδοξασμένος καὶ ἰσχυρὸς
πατὴρ ὁ παντοκράτωρ,
λόγος ὁ συνάναρχος τοῦ πατρὸς
καὶ πνεῦμα συνεκλάμπον
πατρί τε καὶ τῷ λόγῳ,
735 δι' ἧς τὰ πάντα ζῇ καὶ σώζεται.

θεοτ. Ἀκούτισον φωνήν σου, μήτηρ Χριστοῦ,
τοῖς προσφύγοις καὶ δούλοις σου ἐξ οὐρανοῦ,
ἵνα πτωθῇ
ἄρδην ὁ παγκάκιστος Ἰσμαὴλ
740 καὶ διασκορπισθείη
ὥσπερ ὁ Δαθάν τε καὶ Ἀβειρὼν
ἐν ᾅδῃ κατωτάτῳ·
τὴν πόλιν σου γὰρ ταύτην
πορθῆσαι ἄσεμνα φρυάττεται.

735 fortasse δι' οἷς

741 Num. 16,32-33

SS. CONONE E FIGLIO MARTIRI DI ICONIO

La festività dei SS. Conone e figlio al 3 giugno è tipica della prassi liturgica italo-greca. Anzi, è annoverata tra quelle che servono a stabilire con sicurezza l'origine italiota di alcuni codici liturgici (1). Essa è prescritta, in particolare, nei tipici di S. Maria del Patire (2) e del S. Salvatore a Messina (3), mentre in altri monasteri italo-bizantini è sostituita, forse per attrazione del nome, dalla memoria di S. Conone eremita (4). I due martiri sono ricordati anche al 29 maggio (5), giorno che, secondo G. Caporale, sarebbe quello della loro morte (6), ed al 4 giugno (7).

Secondo la tradizione rispecchiata nel canone, vv. 9, 53, Conone e suo figlio condussero, prima della persecuzione, vita solitaria (8).

---

(1) *Synax. CP.* LVIII-LX, 725[54], 1017; H. DELEHAYE, *Un synaxaire italo-grec*, « Anal. Boll. » 21 (1902), 25-27.

(2) S. G. MERCATI, *Sulle reliquie del monastero di S. Maria del Patire*, in « *Collectanea Byzantina* » II, Bari 1970, 400, 403 [= « Archivio Storico per la Calabria e la Lucania » 9 (1939), 6, 9].

(3) M. ARRANZ, *Le typicon du monastère du Saint-Sauveur à Messine*, Roma 1969, 303, 314.

(4) *Synax. CP.* 1017; DELEHAYE, o.c., 27.

(5) *AA.SS. Maii* VII (1688), 4 ss.; *Martyr. Rom.* 214.

(6) G. CAPORALE, *Il martirio e culto dei Santi Conone e figlio, protettori della città di Acerra*, Napoli 1885, 61-62.

(7) *AA.SS. Maii* VII, 5; CAPORALE, o.c., 61. A tale data è riportata la *passio* di S. Conone nel codice Ambrosiano gr. D. 92 Sup., ff. 218v-221v (= *B.H.G.*3 360b), sulla quale si veda F. HALKIN, *Suppléments ambrosiens à la Bibliotheca hagiographica graeca*, « Anal. Boll. » 72 (1954), 333.

(8) Negli Atti greci editi in *AA.SS. Maii* VII, 5-7 (= *B.H.G.*3 360) si legge a p. 6: Οὗτος ἐσχηκὼς γυναῖκα, ἀνεχώρησε χηρεύσας, ἔχων καὶ υἱόν· καὶ λαβὼν αὐτὸν κατιδίαν ᾤκησεν. Negli « Acta recentiora » latini (= *B.H.L.* 1916), ibid. 8D: « ad monasterium cum unico filio suo perrexit... ». Allo stesso modo nella *passio* del codice Ambrosiano gr. D. 92 Sup., f. 219r,1a colonna: οὗτος οὖν ἐν μοναστηρίῳ ᾔειν μετὰ τοῦ υἱοῦ αὐτοῦ διάγων. Sul particolare si veda: *AA.SS. Maii* VII, 5; CAPORALE, o.c., 43-45.

Condotti poi dinanzi al « κόμης » Domiziano (1) e non persuasi a sacrificare agli idoli, affrontarono prima della morte diversi tormenti (2). Nell'accennare a tali supplizi il canone nomina il fuoco, v. 70, e la ϑλάσιν τῶν μελῶν, v. 27 (3), cui aggiunge le fiere, vv. 70-71, e la spada, vv. 35, 70. In particolare dai vv. 35-36 si potrebbe dedurre che essi morirono di spada. Tra i repertori consultati, soltanto presso il Ferrari (4) troviamo questa versione della loro morte, mentre tutte le *passiones* conosciute riferiscono che Conone e figlio spirarono dopo che le loro mani furono schiacciate. Nessuna fonte, poi, parla di fiere.

I nomi dei due martiri appaiono con forme diverse. Secondo la *passio* del codice Ambrosiano gr. D. 92 Sup. il giovane sarebbe stato omonimo del padre (5). Nel canone il padre è sempre chiamato Κόνων (6), ma nella rubrica, all'inizio dell'ufficiatura del giorno, f. 101v del Barberiniano gr. 373, troviamo: « μηνὶ ἰουνίῳ γ' · τοῦ ἁγίου μάρτυρος Κώνου καὶ Κώνονος τοῦ υἱοῦ αὐτοῦ », e con i nomi di Cono e Conone i

---

(1) Sulla data del martirio desunta dal nome del magistrato si veda: *AA.SS. Maii* VII, 4-5; CAPORALE, o.c., 28-32, 59-60.

(2) *AA.SS. Maii* VII, 7,9; CAPORALE, o.c., 51-55.

(3) Si vedano i luoghi citati alla nota precedente. Quanto alla ϑλάσις τῶν μελῶν del canone, piuttosto che al « Ξυλίνῳ πρίονι τὰς χεῖρας αὐτῶν περιέλετε » di *AA.SS. Maii* VII, 7, l'espressione meglio si adatta alle fonti latine, ad es. *Martyr. Rom.* 214: « ... malleo ad extremum ligneo manibus eorum contritis, spiritum emiserunt »: cfr. CAPORALE, o.c., 54.

(4) F. FERRARI, *Catalogus Sanctorum Italiae in menses duodecim distributus*, Mediolani 1613, 341: « Conus seu Conon et Conellus filius Martyres Acerris hac die (3 giugno) coluntur. Passi Aureliano Imp. feruntur, primum in equuleo suspensi, deinde lampadibus accensis lateribus eorum admotis adusti, tum in sublimi appensis pedibus, capite deorsum verso, os illis fumo ac subjecto igne obstruhitur. Demum cum in fide constantiores semper apparuerent, capitis abscissione martyrium compleverunt. Ex monum. Eccles. propriae, in qua passio ipsorum depicta adhuc legitur ». Cfr. CAPORALE, o.c., 55.

(5) f. 219r, 1a col.: ... ἐν τῷ μοναστηρίῳ διάγων ... μετὰ τοῦ ὁμοτρόπου καὶ ὁμωνύμου υἱοῦ αὐτοῦ.

f. 220v, 1a col.: Δομετιανὸς εἶπεν πρὸς τὸν μακάριον Κόνωνα · « εἰπέ, παπά · ὁ υἱός σου τίς καλεῖται; ». ὁ μακάριος Κόνων εἶπεν · « συνώνυμός μοι ἐστίν ».

(6) Nel κάϑισμα, dopo la terza ode, padre e figlio sono chiamati insieme Κόνωνας e, se è esatta la ricostruzione del v. 32 del canone, ove la desinenza -ες è aggiunta sopra il rigo, anche l'autore del canone usa lo stesso nome per ambedue i martiri.

due santi sono citati anche nei tipici del Patire e del S. Salvatore (1). Lo sdoppiamento del nome si riscontra anche nella tradizione italolatina, ove accanto al nome del padre, Cono o Conone, quello del figlio appare spesso come Conello (2).

Nell'ἀκολουϑία dei due martiri sono confluiti elementi a loro estranei. Infatti, dopo una serie di tre στιχηρὰ vespertini ad essi dedicati (3),

---

(1) Si vedano le note 2 e 3 di p. 313.

(2) *AA.SS. Maii* VII, 4; CAPORALE, o.c., 49; F. FERRARI, l.c. alla nota 4 della pagina precedente.

(3) Barber. gr. 373, ff. 101v-102. I tre στιχηρὰ portano forse una traccia di acrostico: Μ⟨ι⟩χα⟨ήλ⟩.

f. 101v Στιχηρά.

Ἦχος πλ. δ', πρὸς τό · *Ὢ τοῦ παραδόξου ϑαύματος*

Μάρτυρες Χριστοῦ πανένδοξοι,
οἱ τῶν δαιμόνων βωμοὺς
κατεάξαντες χάριτι
καὶ τὴν πλάνην ἅπασαν
5 τῶν εἰδώλων μειώσαντες,
ἐν τῇ ἀσκήσει
ὑμῶν καὶ ἄϑλοις δὲ
ἀναδειχϑέντες
φωστῆρες λάμποντες,
10 ὅϑεν καὶ δίπλοκον
τὸ βραβεῖον ηὕρατε,
νικητικῶς πάντοτε πρεσβεύοντες
πρὸς τὸν σωτῆρα Χριστόν.

f. 102 ‖ Χάριν ϑαυμάτων ἐλάβετε
κατὰ δαιμόνων, ⟨σο⟩φοί,
καὶ παϑῶν τῶν τοῦ σώματος,
καὶ ψυχῶν ἰώμενοι
5 τὰς νόσους, ἀξιάγαστοι
Κόνων σὺν γόνῳ,
ὁ τοῦ καὶ σύναϑλος,
πυρὸς καὶ ξίφους
καταφρονήσαντες,
10 ὅϑεν πρεσβεύοντες
ἀενάως πάντοτε
ὑπὲρ ἡμῶν τὸν σωτῆρα κύριον
ῥυσϑῆναι βλάβης ἐχϑρῶν.

Ἄνω τῷ ϑρόνῳ χορεύοντες
τῷ τοῦ δεσπότου Χριστοῦ,

il codice ne riporta altri tre (1), composti per altri santi. Il primo di questi tre στιχηρά, inedito, è indicato dall'Eustratiadis (2) per la celebrazione di S. Conone al 5 marzo. Questo Conone potrebbe essere sia S. Conone l'ortolano (3), sia S. Conone di Isauria (4), ma il

---

ἀθληταὶ καρτερόψυχοι,
τὸν σωτῆρα κύριον
5 ὑπὲρ πάντων πρεσβεύσατε
τοῦ λυτρωθῆναι
ὀργῆς καὶ θλίψεως,
τοῖς ἀδιστάκτως
ὑμῖν προστρέχουσι
10 πάντοτε κύριον
δυσωπεῖτε, ἔνδοξοι,
εὑρεῖν ἡμᾶς πταισμάτων συγχώρησιν
καὶ μέγα ἔλεος.

(1) Ibid., f. 102r-v:

Ἕτερα στιχηρά.

Ἦχος α', πρὸς τό· *Τῶν οὐρανίων ταγμάτων*

Τῇ πρὸς θεὸν πεποιθήσει
f. 102v ἀναπτερώσας || τὸν νοῦν,
ὑπὸ ἀθέων, μάρτυς,
μαστιζόμενος ὅλως,
5 ἔμεινας ἀτρέμας·
ὅθεν, πιστοί,
τῶν μωλώπων τὰ αἵματα
πάντες ἀντλοῦντες πρὸς ἴασιν τῶν ψυχῶν
καὶ σωμάτων προσφερόμεθα.

Τὸ τρισήλιον σέλας
τοῦ ἀκηράτου φωτός,
ἐν μακαρίᾳ λήξει
παριστάμενος, Κόνων,
5 πρέσβευε ἀπαύστως
τοῦ φωτισμοῦ
τῆς ἐν σοὶ ἀπολαύσεως
ἐναπολαύειν καὶ θείας μαρμαρυγὰς
ἀξιωθῆναι τοὺς τιμῶντάς σε.

Ὡς παρρησίαν, παμμάκαρ,
.... = *MR* III, 421.

(2) EUSTRATIADIS, *Ταμεῖον*, EPh 47 (1948), 220.

(3) Celebrato il 4, 5, 6, marzo: *Synax. CP.* 509[49], 511-512, 513[26]; si veda anche J.-M. SAUGET in *B.SS.* IV, 152-154.

(4) Celebrato il 5 o il 6 marzo: *Synax. CP.* 509[42], 513-516.

contenuto del breve inno si adatta piuttosto ai particolari della *passio* di S. Conone di Isauria (1). Il secondo è inedito e sconosciuto, ma comunque dedicato ad un solo santo. Il terzo, infine, di contenuto molto generico, è già pubblicato con poche varianti nella ἀκολουθία di S. Ippolito martire e papa al 30 gennaio (2). Il resto dell'ἀκολουθία, con l'ἐξαποστειλάριον e i σύντομα mattutini, è invece attribuibile ai SS. Conone e figlio (3).

---

(1) Cfr. *Synax. CP.* 515-516.

(2) *MR* III, 421.

(3) Barber. gr. 373, f. 107r-v:

Ἐξαποστειλάριον.

〈Ἦχος β'〉 πρὸς τό· *Τῶν μαθητῶν ὁρώντων σε*

Τοὺς καρτεροὺς ὁπλίτας τῆς ἀληθείας
καὶ καθαιρέτας πλάνης τῆς τῶν εἰδώλων
δεῦτε φιλομάρτυρες τοὺς Κόνωνας
ἀξίως μακαρίσωμεν,
5 αἰτούμενοι τοῦ πρεσβεύειν
ὑπὲρ ἡμῶν τῷ κυρίῳ.

〈θεοτ.〉 Καὶ πόλεμοι καὶ θλίψεις καὶ περιστάσεις
συνέσχον τὴν ψυχήν μου καὶ καταιγίδες,
ἀλλ' ὅταν ἐπιβλέψω τὴν σὴν εἰκόνα
γαληνιῶ τὰ πάθη μου καὶ βοῶ σοι·
5 « παραμυθία μεγάλη
χριστιανῶν σὺ ὑπάρχεις ».

All'inizio del f. 107v è stato tagliato via il titolo con l'indicazione della strofa su cui sono modulati i σύντομα, che però si adattano perfettamente a *Οἶκος τοῦ Ἐφραθά*, edito in *MR* II, 552.

f. 107v || 〈Εἰς τοὺς αἴνους σύντομα.

Ἦχος β', πρὸς τό· *Οἶκος τοῦ Ἐφραθά*〉

〈Ζ〉εῦγος φωτοειδὲς
τῶν θείων ἀθλοφόρων,
τριάδι τῇ πανσέπτῳ
ὡς παρεστός, τὸν ζόφον
5 τῶν παθῶν ἡμῶν διώξατε.

Πηγὴν παρὰ θεοῦ
λαβόντες ἰαμάτων,
πηγάζετε παντοίας
ἀφθόνως τὰς ἰάσεις
5 τοῖς δεομένοις πάντοτε.

Non è raro che nei codici liturgici inni composti per un santo vengano dedicati ad un altro. Qui poi la confusione è giustificata dall'identità del nome. È però interessante ricordare che, secondo l'Halkin, Conone e figlio sarebbero, con Conone di Isauria e Conone l'ortolano (1), la derivazione moltiplicata del culto di uno stesso martire (2). Le date delle loro celebrazioni, inoltre, si intrecciano in maniera molto ambigua nelle diverse fonti (3). Forse proprio a quest'ultimo fenomeno è dovuta la mescolanza degli inni dedicati ai singoli Conone, che certamente non è avvenuta per la consapevolezza della comune origine del culto ad essi tributato. Infatti le loro singole vicende erano già ben distinte nella tradizione agiografica.

Il canone in onore dei due martiri è tramandato dal solo Barberiniano gr. 373 = *Bm*, la cui provenienza italo-greca è testimoniata non solo dalla celebrazione al 3 giugno dei nostri santi, ma anche

---

Τίς γὰρ πρὸς τὴν ὑμῶν
προσέδραμεν ἁγίαν
σορὸν καὶ οὐκ εὐθέως
τῆς νόσου ἀπηλλάγη,
5 ὁποίᾳ ἂν κατείχετο;

Ἀκτῖσι τῶν ὑμῶν,
ἀθλοφόροι, θαυμάτων
τὰς νόσους τῶν τελούντων
πιστῶς ὑμῶν τὴν μνήμην
5 ἀποσοβεῖτε, ἔνδοξοι.

⟨θεοτ.⟩ Ἀνύστακτε λαμπάς,
λυχνία φωτοφόρε,
τὸν σὸν υἱὸν δυσώπει
μετὰ τῶν ἀθλοφόρων
5 σωθῆναι πάσης θλίψεως.

(1) Si veda p. 316, note 3 e 4.

(2) F. HALKIN, *Publications récentes de textes hagiographiques grecs*, « Anal. Boll. » 53 (1935), 373; ID. in « Anal. Boll. » 57 (1939), 436.

(3) Ai rilievi sull'intrecciarsi delle date, in cui sono festeggiati i santi omonimi, fatti da C. GIANNELLI, *Probabili frammenti di un menologio premetafrastico di marzo*, in « *Scripta Minora* », SBN 10 (1963), 121-123 [= *Mémorial Louis Petit*, Bucarest 1948, 103-105], si deve aggiungere che il codice Corsin. 366 riporta il κοντάκιον per i SS. Conone e figlio al 4 luglio, una data cioè molto vicina al 2-3 luglio, giorni in cui viene celebrato Conone l'ortolano (GIANNELLI, cit.; *B.H.G.*³ 361). Tale κοντάκιον, che il nostro codice presenta dopo la sesta ode del canone, è stato pubblicato da J. B. PITRA, *Analecta Sacra spicilegio Solesmensi parata* I, Parisiis 1876, 574-575.

dall'altra, tipicamente italo-greca (1), di S. Filippo di Agira al 12 maggio, ff. 79-85ᵛ. Il codice non è certo dei migliori, ricco come è di errori e omissioni. Inoltre i margini dei fogli sono stati tagliati e spesso sono scomparse alcune lettere. Ad ogni modo il canone vi appare senza mutilazioni di tropari, come dimostra l'acrostico: « Μνήμην Κόνωνος πατρὸς ὑμνῶ σὺν γόνου ». Il nome dell'autore non ci è stato tramandato. Gli heirmoi, dell'ἦχος δ', sono tutti di Giovanni (2).

---

(1) D. G. LANCIA DI BROLO, *Storia della Chiesa in Sicilia*, Palermo 1880-1884, I, 214; II, 332.

(2) *EE* 94, n. 133, per le odi α', γ', δ', ε', ς'; *EE* 100, n. 141, per le odi ζ', η', θ'.

5 GIUGNO

S. PIETRO ANACORETA

Per il 5 giugno il Vaticano gr. 2069 tramanda la celebrazione di due santi: Eustazio vescovo di Antiochia e un Pietro (τοῦ ὁσίου Πέτρου) non meglio identificato. Ad ognuno di essi è dedicato un canone. Quello per S. Eustazio, ff. 205v-207, ψαλλόμενος εἰς τὸν ὄρθρον, sta per essere pubblicato nel sesto volume di questa collezione (1), mentre per il 5 giugno viene qui presentato il primo canone, ψαλλόμενος τῇ ἑσπέρᾳ, come è dichiarato nella rubrica a f. 203v, cioè nell'ufficiatura dell'ἀπόδειπνον (2). Il contesto del canone presenta diversi problemi, non tutti risolvibili, che è preferibile trattare separatamente.

1. – *I codici*

Il Vaticano gr. 2069 = *Vb* è un manoscritto del XVII secolo e costituisce quindi una testimonianza molto tarda. Tuttavia è forse possibile risalire al più autorevole esemplare da cui esso deriva. Infatti tutti i canoni che questo codice riporta per il mese di giugno, ai ff. 203v-229v, appaiono, ad eccezione del nostro, anche in alcuni codici criptensi. I canoni sono:

1) *Vb* ff. 205v-207, Τὴν τῶν πατέρων, per S. Eustazio al 5 giugno (v. sopra), che appare anche nei Criptensi Δ.α. LXIII, ff. 12v-15, e Δ.δ. XII ff. 143v-147;

2) *Vb* ff. 207-209, Δόξης ἀρρήτου, per i SS. Bartolomeo e Barnaba, prescritto all'ἀπόδειπνον l'11 giugno, di cui è autore Bartolomeo

(1) *AHG* VI, *Canones Februarii*, in preparazione, a cura di E. Tomadakis. S. Eustazio di Antiochia è infatti celebrato anche al 21 febbraio: *Synax. CP.* 480.

(2) J. B. Pitra, *Hymnographie de l'Eglise grecque*, Rome 1867, 80; G. Giovanelli, *Gli inni sacri di S. Bartolomeo juniore*, Badia Greca di Grottaferrata 1955, 16 nota 26.

di Grottaferrata (1), presente anche nel Δ. α. LXIII ff. 125-125v e nel Δ.δ. X ff. 65v-67;

3) *Vb* ff. 209-210v, Ζῶσα πηγὴ per S. Vito, 15 giugno (2), che troviamo anche nel Δ.α. LXIII ff. 45-48v, nel Δ.δ. XII ff. 148-152v e nel Δ.α. XXXI ff. 171-173;

4) *Vb* ff. 213-218, Βασιλευόντων, per S. Basilio egumeno (3), prescritto all'ἀπόδειπνον il 22 giugno, riportato sempre nel Δ.α. LXIII ff. 68-73 e nel Δ.δ. XII ff. 165-171;

5) *Vb* ff. 218-219, Πάντες ἀνυμνήσωμεν, λαοί, 22 giugno, all'ὄρθρος, per gli Arcangeli Michele e Gabriele (4) presente nel Δ.α. LXIII ff. 73v-76 e nel Δ.δ. XII ff. 171-174;

6) *Vb* ff. 219v-221v, Δόξης ἀπαύγασμα, prescritto all'ἀπόδειπνον, 29 giugno, per i SS. Pietro e Paolo, opera di S. Bartolomeo juniore (5): Δ.α. LXIII ff. 100-102v, Δ.δ. X ff. 67v-68v, Δ.α. XXXI, ff. 186v-188v, Δ.β. XVI ff. 263-265;

7) *Vb* ff. 221v-224v, Ἄισομαί σοι, κύριε, anche questo per i SS. Pietro e Paolo (6), compreso anche nel Δ.α. LXIII ff. 103v-109, Δ.α. XXXI ff. 189-192v, Δ.β. XVI ff. 266v-271;

8) *Vb* ff. 225v-229v, Ἡ δωδεκάπυρσος, 30 giugno, per i SS. XII Apostoli (7): Δ.α. LXIII ff. 113-122, Δ.α. XXXI ff. 196-200v e Δ.β. XVI nei fogli finali, senza numerazione, ove è stato copiato da Michele Lodolino, mentre il resto del codice appartiene a Luca Felice (8).

Dell'ἀκολουθία per S. Pietro eremita, che è ricordato anche nel tipico di Grottaferrata (9), sopravvive, nel Criptense Δ.δ. XII f. 143v,

(1) Edito da G. Giovanelli, o.c., 177-181.

(2) Edito da T. Minisci, *Innologia greca per S. Vito martire tratta dai codici di Grottaferrata*, SBN 9 (1957), 309-316.

(3) Edito in questo volume alle pp. 163-176.

(4) Edito in *MR* II, 81.

(5) Giovanelli, o.c., 182-191.

(6) Edito alle pp. 253-270 del presente volume.

(7) Edito alle pp. 283-309 di questo volume.

(8) A. Rocchi, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883, 362.

(9) Criptense Γ.α. I (Rocchi, o.c., 209-211) f. 81: Μηνὶ τῷ αὐτῷ ε'· τοῦ ἁγίου Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας καὶ τοῦ ὁσίου Πέτρου καὶ τοῦ ἁγίου Κυρίλλου ἐπισκόπου Γορτύνης. Cfr. T. Toscani, *Ad Typica Graecorum... animadversiones*, Romae 1864, 101.

soltanto lo στιχηρὸν vespertino, riportato prima del canone per S. Eustazio (1).

In particolare si noterà che i canoni citati appaiono tutti regolarmente nel tardo meneo di giugno Δ.α. LXIII = *Dg* (2), scritto nel 1734 da Atanasio Pellegrini e che, secondo il Rocchi (3), sarebbe una copia del perduto meneo criptense di giugno, scritto nel 1092 dallo ieromonaco Ignazio e del quale l'abate Romano Vassalli ha conservato la sottoscrizione (4). Solo alcuni dei canoni appaiono invece nel Δ.α. XXXI, nel Δ.β. XVI, copiati ambedue da Luca Felice rispettivamente nel 1593 e nel 1589 (5), nel Δ.δ. XII, trascritto da Luca Rosa nel XVII secolo (6), e nel Δ.δ. X, ove l'abate Vassalli radunò le opere di Bartolomeo juniore (7).

Limitandoci a parlare dei canoni editi nel presente volume, si nota che le loro trascrizioni in *Vb* e nei citati manoscritti criptensi, a parte piccole sviste e omissioni proprie di ciascun codice, sono sostanzialmente identiche, con gli stessi errori di ortografia, che per lo più non sono tali da meritare rilievo in un apparato critico, le stesse omissioni e trasposizioni di tropari — come nel canone per i XII Apostoli (8) —, che testimoniano la derivazione da un unico esemplare.

---

(1) Δ.δ. XII f. 143v, *Vb* f. 203v:

Στιχηρόν.
Ἦχος πλ. δ', πρός· *Ὢ τοῦ παραδόξου θαύματος*
Δεῦτε τῶν πιστῶν τὸ σύστημα,
ἐν τῇ εὐσήμῳ ἄμφω ἑορτῇ
τοῦ παμμάκαρος (μάκαρος Δ. δ. XII) Πέτρου,
ὕμνον ᾄσωμεν
5 Χριστῷ τῷ λυτρωτῇ ἡμῶν
τῷ δοξάσαντι εἰς τὴν ὑφήλιον (ὑφηλίῳ cdd.)
αὐτοῦ τὴν μνήμην
πλείστοις (πλείστους cdd.) ἰάμασι
καὶ ἐκβοήσωμεν·
10 « τοῦ ὁσίου, κύριε, ταῖς προσευχαῖς
σῶσον τὰς ψυχὰς ἡμῶν
ὡς μόνος εὔσπλαγχνος ».

(2) ROCCHI, o.c., 306-308, 348, ha descritto due volte il manoscritto: la prima come Δ.α. X, la seconda come Δ.α. LXIII.
(3) Ibid., 308.
(4) Nel codice Z.δ. III, f. 11: cfr. MINISCI, o.c., 308 nota 2.
(5) ROCCHI, o.c., 331, 361-362.
(6) Ibid., 398.
(7) Ibid., 396.
(8) V. p. 410.

Le sole differenze di *Vb* rispetto ai codici criptensi, oltre che nel caso del nostro canone, si trovano nel canone per i SS. Pietro e Paolo, ove *Vb* da solo riporta l'ode seconda (1), e nel canone per i SS. XII Apostoli, del quale *Vb* omette alcuni tropari, forse per la perdita di un foglio nell'esemplare o perché l'amanuense nel copiare ha saltato uno o più fogli (2). Si deve rilevare quindi una certa indipendenza di *Vb* dai criptensi, che però appartengono sicuramente alla sua stessa tradizione manoscritta. All'origine delle varie trascrizioni di questi canoni vi è probabilmente il già citato meneo di giugno del 1092, e lo si potrebbe affermare al di fuori di ogni dubbio, se in *Dg* avessimo la copia fedele e sicura del codice scomparso. *Dg*, invece, è stato copiato nel 1734, mentre già nell'inventario dello Schiappacasse, redatto nel 1727 (3), il meneo antico è dato per perduto e probabilmente rubato. Questa è però una difficoltà solo apparente, poiché tale circostanza, come vedremo, può in realtà spiegare le differenze di *Dg* da *Vb*.

Un elemento importante ai fini della discussione è che in *Vb*, subito dopo il canone per S. Pietro, è trascritta la datazione dell'anno 6600, indizione 15a, 1092 dell'era cristiana (4), la stessa data, cioè, dello scomparso meneo criptense. Questo fatto potrebbe essere considerato una pura e semplice coincidenza soltanto se i canoni di *Vb* non fossero contenuti anche nei codici di Grottaferrata, con le identiche prescrizioni per l'ὄρθρος o l'ἀπόδειπνον e con gli stessi numerosi errori.

Si è detto prima che la scomparsa del vecchio meneo, prima che l'attuale fosse trascritto, può spiegare le differenze che intercorrono tra questo e *Vb*. Con l'antico codice, infatti, non era scomparsa tutta l'innologia per i santi di giugno, parte della quale era appunto conservata nei codici citati (e forse in altri ancora) di Luca Felice, Luca Rosa, Romano Vassalli, ai cui tempi il meneo antico era ancora a Grottaferrata, come dimostra il fatto che il Vassalli ne abbia conservato la sottoscrizione. Nella necessità di riscrivere il meneo di giugno,

---

(1) V. p. 402.
(2) V. p. 418.
(3) Criptense Z.δ. XXIX, p. 703. L'inventario dello Schiappacasse, insieme ai precedenti elenchi di codici di Grottaferrata, sarà pubblicato dal P. Marco Petta.
(4) F. 205v, 2a colonna: *Anno* ἔτι ,ϛχ · $\overset{\Delta}{\text{IN}}$ · ιε *incarnatine dni 1092 indine ie Anno ab orbe condio seimilia e seicento: Anno dni 1092.*

Atanasio Pellegrini, seguendo le prescrizioni del tipico del monastero,
vi avrà quindi introdotto quei canoni caratteristici dell'ufficiatura di
Grottaferrata, di cui ancora disponeva nelle copie del Felice, del
Rosa e del Vassalli, trascrivendo gli altri da codici che, per la vici-
nanza con le biblioteche romane, potevano anche non appartenere al
monastero stesso (1). Dal Δ.δ. XII può aver copiato i canoni per
S. Eustazio, S. Vito, S. Basilio (2) e per gli Arcangeli, insieme ad altri
che *Vb* non riporta (3). I canoni composti da S. Bartolomeo juniore gli
erano offerti dalle copie del Felice e del Vassalli. Se anche il canone
per i SS. Pietro e Paolo edito in questo volume (v. sopra), gli deriva
dai codici di Luca Felice, si spiega il perché *Dg* non riporti la seconda
ode, testimoniata invece in *Vb*. E allo stesso modo si comprende
perché *Dg* non riporti il canone, che nessuna copia criptense aveva
conservato, in onore di S. Pietro eremita, il quale è tuttavia ricordato
nello stesso *Dg*, f. 12, per il 5 giugno, insieme a S. Eustazio.

Si può quindi affermare con una certa sicurezza che i canoni
finora citati derivano — in *Vb* direttamente, in *Dg* attraverso la
mediazione di altri manoscritti — dal meneo scritto nel 1092 da
Ignazio ieromonaco. Se tale conclusione è esatta, può servire, come
si vedrà più avanti, a determinare l'epoca in cui fiorì il santo cele-
brato al 5 giugno.

Il canone per S. Pietro anacoreta appare in un altro manoscritto,
il Vaticano gr. 2288 = *Wl*, anch'esso proveniente da un monastero

---

(1) I canoni di *Dg*, che non si trovano negli altri manoscritti criptensi,
sono tutti già editi e si incontrano molto frequentemente nei menei mano-
scritti di giugno.

(2) Nel canone per S. Basilio (edito alle pp. 163-176) gli errori comuni a
Dg e *Vb* si ritrovano tutti anche nel Δ.δ. XII. La più stretta parentela tra
Dg e il Δ.δ. XII è provata dalla variante errata al v. 217, ove i due codici
riportano ϑάπρον, mentre *Vb* scrive correttamente ϑάτερον; al v. 359 il Δ.δ.
XII presenta lo stesso errore di *Vb* χαυμευνίαις ma l'υ in più vi è poi cancel-
lato: in *Dg* la parola è di conseguenza scritta correttamente. Inoltre *Vb*
segnala l'acrostico nella rubrica del canone, mentre sia il Δ.δ. XII sia *Dg*
lo omettono: in *Dg* è stato poi aggiunto in margine dal Vitali.

(3) Altri canoni si trovano, con le stesse varianti, in *Dg* e nel Δ.δ. XII.
Essi sono: 1) canone per i SS. Manuele, Sabele e Ismaele, 17 giugno, edito
alle pp. 100-116: *Dg* ff. 51-55v, Δ.δ. XII ff. 153-158v; 2) per S. Fortunato,
19 giugno, edito alle pp. 117-128: *Dg* ff. 58v-62, Δ.δ. XII ff. 159-163; 3) per
S. Ipazio, 28 giugno, edito in *AHG* VII, *Canones Martii*, a cura di E. To-
MADAKIS, Roma 1971, 338 ss.: *Dg* ff. 95v-99v, Δ.δ. XII ff. 175-180.

italo-greco (1). In *Wl*, ove mancano i fogli iniziali, il canone è però
mutilo dei primi 28 versi; vi sono omessi, inoltre, rispetto a *Vb*, la
seconda ode e tre tropari (vv. 169-176, 201-208, 265-272). Tale codice,
per le pessime condizioni in cui è ridotto, risulta molto spesso illeg-
gibile, tanto è vero che, sebbene riporti alcuni dei canoni editi in questo
volume, non è stato più utilizzato. Oltre ad essere di difficile lettura,
infatti, presenta mutili i vari canoni. Anche nel nostro caso i contri-
buti apportati dal codice si riducono a ben poco, tuttavia esso è il
solo ad offrirci un secondo esemplare del canone e perciò è stato ac-
colto nello studio per la ricostituzione del testo.

2. – *L'acrostico*

Il canone, di nove odi, presenta l'acrostico:

« Πέτρ|αν σε,| Πέτ|ρε, τῶ|ν μο|νασ|τῶν α|ἰνέσω ·|ὁ ξένο||ς ».

Le iniziali dei ϑεοτοκία delle prime otto odi ci danno il nome «'Αρσένιος»
mentre l'iniziale del ϑεοτοκίον della nona ode costituisce il « ς » finale
